# ΓΕΩΡΓΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΤΟΥ ΑΜΙΡΟΥΤΖΗ
## ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΙΩΑΝΝΗΝ
## ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ ΑΠΟΡΗΣΑΝΤΑ

Περὶ τοῦ Τραπεζουντίου φιλοσόφου Γεωργίου τοῦ Ἀμιρούτζη ἐσκόπευον ἄλλοτε νὰ συγγράψω ἰδίαν ἐκτενῆ μονογραφίαν. Συνέλεξα δὲ πρὸς τοῦτο τὸ σχετικὸν ὑλικὸν καὶ ἐμελέτησα τὰ κατὰ τὸν ἄνδρα. Ἐν τῷ μεταξὺ ἔκρινα ὅτι ἠδυνάμην διὰ τῆς ΕΕΒΣ νὰ πραγματευθῶ τὰ κατὰ τὸ ζήτημα τῆς ἐξωμοσίας ἢ ἐκτουρκεύσεώς του [1] μὲ τὸ ὁποῖον στιγματισμένος ἐπέρασεν ὁ ἀτυχὴς οὗτος πολιτικὸς καὶ λόγιος εἰς τὴν ἱστορίαν καὶ τὴν μυθολογίαν τῶν ἐφημερίδων [2].

Ἀναγκαία εἶναι πάντοτε μία συναγωγὴ τῶν ὅσων ὁ Ἀμιρούτζης ἔγραψε, τῶν τε ἐκδεδομένων [3] καὶ τῶν ἀνεκδότων. Μεταξὺ τῶν τελευταίων ἐλάν-

---

[1] Νικολάου Β. Τωμαδάκη, Ἐτούρκευσεν ὁ Γεώργιος Ἀμιρούτζης; ΕΕΒΣ ΙΗ΄, 1948, σσ. 99 - 143. Ἡ περὶ τοῦ ἀνδρὸς καὶ τοῦ ἔργου του βιβλιογραφία αὐτόθι σσ. 101 - 104. Μοναδική, καθ᾽ ὅσον γνωρίζω, μελέτη κυκλοφορήσασα εἰς ἐλάχιστα ἀντίτυπα, μετὰ τὴν ὡς ἄνω ἰδικήν μου, ἡ τοῦ Ι. Τ. Παμπούκη, Ἡ κατάλυσις τῆς αὐτοκρατορίας τῆς Τραπεζοῦντος καὶ ὁ Γεώργιος Ἀμιρούτζης, Ἀθῆναι 1951, σσ. 280 - 289. Τὴν στάσιν τοῦ Ἀμιρούτζη συνεξετάζει πρὸς τὴν ἅλωσιν τῆς πρωτευούσης τοῦ Πόντου ὁ Ὀδυσσεὺς Λαμψίδης, Πῶς ἡλώθη ἡ Τραπεζοῦς, ἀναγραφὴ καὶ διερεύνησις τῶν πηγῶν, Ἀρχεῖον Πόντου 17, 1952, σσ. 15 - 54.

[2] Χαρακτηριστικὰ εἶναι τὰ περὶ τῆς δῆθεν «Μουχλιώτισσας», ἐρωμένης τοῦ Ἀμιρούτζη (πρβλ. ΕΕΒΣ ΙΗ΄, 1948, σσ. 117 - 118, ὅπου σημειοῦνται μέχρι τινὸς οἱ ἐπὶ τοῦ θέματος γράψαντες), ὡς καταγομένης δῆθεν ἐκ Μουχλίου τῆς Πελοποννήσου. Ἐν τούτοις Μουχλιώτισσα θὰ ἦτο ἡ εἰς τὴν συνοικίαν τῆς Παναγίας τῆς Μουχλιωτίσσης ἐν Κωνσταντινουπόλει κατοικοῦσα γυνὴ καὶ οὐδὲν ἄλλο. Παρὰ ταῦτα, καὶ μετὰ τὴν δημοσίευσιν τῆς πραγματείας μου, τὸ θέμα τοῦ δῆθεν ἐξισλαμισμοῦ τοῦ Ἀμιρούτζη ἐξηκολούθησε νὰ εἶναι προσφιλὲς εἰς τοὺς δημοσιογράφους - ἱστοριοδίφας.

[3] Ἡ ἀλληλογραφία του μὲ τὸν Θεοφάνην Μηδείας περιλαμβάνεται καὶ εἰς τὸν κώδικα 2116 (ιε΄ αἰ. χαρτ.) τῆς Μεγίστης Λαύρας. Πρβλ. Κατάλογον Εὐστρατιάδου - Σπυρ. Λαυριώτου, σ. 407, ἀπὸ τοῦ φ. 18α. Ἐκεῖθεν ἐδημοσίευσεν αὐτὴν ὁ Σωφρόνιος Εὐστρατιάδης, εἰς τὸ τέλος τοῦ Καταλόγου τῆς Μεγίστης Λαύρας (Paris 1925), σσ. 412 - 421, προτάξας (σσ. 408 - 421) μελέτημα: Θεοφάνης ὁ Μηδείας καὶ τὰ ἔργα αὐτοῦ. Ἡ πλημμελὴς αὕτη ἔκδοσις (αὐτόθι σσ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

θανεν ἡ περαιτέρω ἐκδιδομένη πραγματεία τοῦ φιλοσόφου, ἡ οὕτως δικαιολογοῦσα τὸν τίτλον τοῦτον αὐτοῦ. Ἐπιγράφεται «*Πρὸς τὸν βασιλέα Ἰωάννην τὸν Παλαιολόγον ἀπορήσαντα, πρὸ τοῦ λατινισμοῦ*», περιέχεται δ' εἰς τὸν ἄλλοτε μὲν σιναϊτικόν, νῦν δ' ἁγιορειτικὸν κώδικα *Βατοπεδίου 478* τοῦ ιε' αἰ. [1], παραδίδοντα ἔργα Μάρκου τοῦ Εὐγενικοῦ, Νικ. Καβάσιλα, Δ. Κυδώνη, Γενναδίου Σχολαρίου καὶ αὐτοῦ τοῦ Ἀμιρούτζη [2].

Τὸ ἔργον ἐπεσήμανα κατὰ τὴν ἐπίσκεψίν μου εἰς Ἅγιον Ὄρος (θέρος 1950) καὶ μετὰ ταῦτα ἔλαβον φωτογραφίας αὐτοῦ. Πρόκειται περὶ θεολογικῆς καὶ φιλοσοφικῆς πραγματείας συνταχθείσης ὑπὸ τοῦ Ἀμιρούτζη εἰς ἀπάντησιν ἐρωτήματος τοῦ Ἰωάννου Η' ἀπευθυνθέντος πρὸς τὸν φιλόσοφον, συχνάζοντα εἰς τὴν αὐλήν. Ἡ πραγματεία συνετέθη πρὸ τοῦ «λατινισμοῦ» τοῦ Ἰωάννου Η', ἑπομένως πρὸ τῆς εἰς Ἰταλίαν κατὰ τὸ 1438 ἀναχωρήσεως τοῦ αὐτοκράτορος διὰ τὴν σύνοδον τῆς Φεραρίας, κατὰ τὴν ὁποίαν ὁ Ἀμιρούτζης ἀντεπροσώπευε τὸν βασιλέα τῆς Τραπεζοῦντος Ἰωάννην Δ'. Ὁ φιλόσοφος ἦτο νέος ἀκόμη τὴν ἡλικίαν, διὸ προσφέρει «*τὰς ἀπαρχὰς τῶν ἡμετέρων λόγων*» (138, 7). Τὸ ἐρώτημα ἀπηυθύνθη «*πολλῶν παρόντων, ἑσπέρας ἤδη βαθείας*». Ἠπόρει δ' ὁ αὐτοκράτωρ ἐπὶ τῆς φύσεως τοῦ ἀνθρώπου, τὸν ὁποῖον ὁ Θεὸς μὲν ἔπλασε συνδεδεμένον μετὰ τῆς ἁμαρτίας καὶ ὑπ' αὐτῆς τυραννούμενον, συμφυᾶ ὡς εἶναι μὲ τὸ ἄλογον τῆς ψυχῆς μέρος καὶ τὴν ἀσθένειαν, εἶτα δὲ πίπτοντα κολάζει· ἐνῷ ἠδύνατο νὰ δημιουργήσῃ αὐτὸν ἀγγελικῶς ἢ καὶ μείζονος τὴν δύναμιν φύσεως, ὥστε ν' ἀποφύγῃ καὶ τὰς πτώσεις τῆς ἁμαρτίας καὶ τὸν ἀγῶνα κατ' αὐτῆς καὶ τὸν ἐπακολουθοῦντα κολασμόν. Ἡ ἀπάντησις τοῦ Ἀμιρούτζη εἶναι ἐκτενής, ἄρχεται δ' ἐκ τῆς θεολογικῆς ἀποδείξεως περὶ τῆς φύσεως τοῦ Θεοῦ, ὄντος ἀγαθοῦ καὶ παντοδυνάμου, καὶ προχωρεῖ περαιτέρω διὰ τῆς ἐπικλήσεως τόσον ῥητῶν τῆς Ἁγίας Γραφῆς καὶ τῶν Πατέρων (ὡς τοῦ Ἰωάννου Χρυσοστόμου), ὅσον καὶ ἀρχαίων φιλοσόφων, οἷος ὁ Πλάτων. Ὁ Ἀμιρούτζης ἐπιμένει ἐπὶ τοῦ ὅτι πρέπει εἰς κατάστασιν ἀνθρώπου εὑρεθέντες καὶ τὴν ἰδίαν φύσιν μὴ δυνάμενοι νὰ

---

431 - 435 : (πλήθους) παροραμάτων διόρθωσις ἐν ταῖς ἐπιστολαῖς τοῦ Μηδείας), ἐγένετο ἐρήμην τοῦ λεσβιακοῦ κώδικος καὶ ἐν ἀγνοίᾳ τῆς πρώτης δημοσιεύσεως τῶν κειμένων τούτων ὑπὸ τοῦ Α. Παπαδοπούλου Κεραμέως, Μαυρογορδάτειος Βιβλιοθήκη, Ἀνέκδοτα Ἑλληνικά, ἐν Κωνσταντινουπόλει 1884, σσ. 18 - 35 (πρβλ. περὶ τῆς ἐκδόσεως ταύτης τὰ ὑπ' ἐμοῦ σημειωθέντα ἐν ΕΕΒΣ ΙΗ', 1948, σ. 103).

[1] Πρβλ. Σωφρ. Εὐστρατιάδου - γέροντος Ἀρκαδίου Βατοπεδινοῦ, Κατάλογος τῶν ἐν τῇ Ἱερᾷ Μονῇ Βατοπεδίου ἀποκειμένων κωδίκων, Paris 1924, σσ. 96 - 97. Κακῶς ἐκεῖ φέρεται ὁ κῶδιξ ὡς τοῦ ιδ' αἰ.

[2] Φ. ρλς' τοῦ Ἀμουρούζη (sic) εὐχὴ ἱκέσιος ἢ ὕμνος πρὸς Θεόν. Ἐξεδόθη ὑπὸ Σπυρ. Λάμπρου ἐν ΝΕ 3, 1906, σσ. 51 - 55, ὅπου ὁ κῶδιξ ἀριθμεῖται ὡς 410 (πρὸ τῆς ἐκδόσεως τοῦ καταλόγου). Νοητέον ὅτι ἐκ τοῦ 478 φφ. ρλε'ν - ρλθ'ν ἐγένετο ἡ ὑπὸ τοῦ Λάμπρου ἔκδοσις.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

μεταλλάξωμεν, νὰ εὐδοκιμήσωμεν, τοῦτο δ᾽ ἰδιαιτέρως συνιστᾷ εἰς τὸν βασιλέα, τὸν ὄντα παράδειγμα τῶν ὑπηκόων. Ἀφοῦ πραγματευθῇ περὶ τῆς ἀγγελικῆς φύσεως καὶ τῆς πτώσεως τῶν δαιμόνων ἕνεκα τῆς ἁμαρτίας, δι᾽ ὀλίγων ἀναπτύσσει τὰ τῆς κολάσεως καὶ εἶτα ὁμιλεῖ περὶ δικαιοσύνης. Τὴν ἁμαρτίαν ἀποδίδει εἰς ἀνθρωπίνην ῥαθυμίαν, κακίαν τὴν ὁποίαν ὁ ἄνθρωπος δύναται ν᾽ ἀποφύγῃ. Ἀναγνωρίζει τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου, ἀγνοοῦντος τὸν Θεὸν καὶ τὰς ἐντολάς του διὰ τὴν ἁμαρτίαν. Ἡ πραγματεία αὕτη, κατὰ ταῦτα, εἶναι ἠθική, τὰ ζητήματα δὲ τὰ ὁποῖα ἐξετάζει ἀμέσως σχετίζονται πρὸς τὸ πρόβλημα τῆς ἐλευθερίας τῆς βουλήσεως τοῦ ἀτόμου καὶ τοῦ ὑπ᾽ αὐτοῦ τοῦ ἀνθρώπου διεξαγομένου πρὸς τελείωσιν ἀγῶνος.

Ἐν συνεχείᾳ ἐκδίδω ἐκ τοῦ Μαρκιανοῦ Κώδικος 533 τοῦ αὐτοῦ ιε΄ αἰ., εἰς τὸν ὁποῖον κατεχωρίσθησαν διὰ τῆς χειρὸς τοῦ Βησσαρίωνος [1] διάφορα ἔργα αὐτοῦ καὶ ἀλληλογραφία, ἐπιστολὴν τοῦ καρδιναλίου πρὸς τὸν φιλόσοφον καὶ σύντεκνον αὐτοῦ Ἀμιρούτζην. Ἡ ἐπιστολὴ ἐξεδόθη μὲν προλαβόντως ὑπὸ τοῦ βιογράφου τοῦ Βησσαρίωνος Mohler [2] ἀλλὰ τόσον ἐλλιπῶς, ὥστε τὸ πλημμελὲς τῆς ἐκδόσεως καὶ ἡ σπάνις τοῦ τόμου εἰς τὸν ὁποῖον κατεχωρίσθη [3] νὰ ἐπιβάλῃ τὴν ἐπανέκδοσιν αὐτῆς [4].

Περὶ τῶν σχέσεων Βησσαρίωνος — Ἀμιρούτζη διέλαβον ἄλλοτε δι᾽ ὀλίγων [5]. Ἐκ τῆς δημοσιευομένης γλαφυρᾶς ἐπιστολῆς τοῦ καρδιναλίου φαίνεται ὅτι ὁ φιλόσοφος ἠνώχλει τακτικὰ διὰ γραμμάτων τὸν ἱεράρχην, καὶ ὅτι ὁ τελευταῖος ἠμέλει νὰ ἀπαντᾷ. Παραπονεῖται δ᾽ ὁ Ἀμιρούτζης διὰ τὴν σιωπήν, καὶ ζητεῖ τὸν λόγον διὰ τὴν ἀμέλειαν ταύτην, ὡς καὶ διὰ σκώμματα τοῦ ἱεράρχου ἐκτοξευθέντα ἐναντίον του. Ὁ Βησσαρίων πάλιν ἐπιρρίπτει μὲν εἰς τοὺς ταχυδρόμους τὴν ἀπώλειαν τῶν ἐπιστολῶν, ἀνθρώπους τοὺς ὁποίους οὐδὲ

---

[1] Τὸ ὅτι ὁ κῶδιξ εἶναι αὐτόγραφος ὑπεστήριξα ἐν ΕΕΒΣ ΙΗ΄, 1948, σ. 129 καὶ πρὸς τὴν γνώμην ταύτην συνετάχθη ὁ Κ. Μέρτζιος, αὐτόθι σ. 245. Ἀντίθετος εἶναι ἡ γνώμη τοῦ Mohler, Bessarion III, 1942, σ. 416 σημ., ἑπομένου τῷ Χρυσάνθῳ Τραπεζοῦντος, Βησσαρίωνος πρὸς τὴν σύνοδον ἢ περὶ τῶν καθ᾽ ἡμᾶς, Ἀρχεῖον Πόντου 9, 1939, σ. 6, ὅπου οὗτος λέγει ὅτι: «Ἡ γραφὴ τοῦ κώδικος δὲν φαίνεται τοῦ Βησσαρίωνος ἀλλ᾽ ἀπροσέκτου τινὸς ἀντιγραφέως. Οὕτω ἐξηγοῦνται τὰ ἱκανὰ γραμματικὰ καὶ συντακτικὰ σφάλματα, τὰ ὁποῖα ὑπεσημειώσαμεν... πιθανώτατα δὲ καὶ ἀντιγραφικά τινα ἀβλεπτήματα, ἕνεκα τῶν ὁποίων ἐνιαχοῦ δὲν εὐοδοῦται ἡ ἔννοια».

[2] L. Mohler, Kard. Bessarion III, Paderborn 1942, σσ. 422 - 424 (πρβλ. ΕΕΒΣ ΙΗ΄, 1948, σσ. 102, 104).

[3] Ἐκάησαν τὰ ἀντίτυπά του κατὰ τὸν τελευταῖον παγκ. πόλεμον.

[4] Φωτογραφίας τῶν χειρογράφων παρέσχεν εἰς ἐμὲ πρό τινων ἐτῶν προθύμως ὁ ἐν Βενετίᾳ ἱστοριοδίφης κ. Κ. Μέρτζιος, τὸν ὁποῖον καὶ ἐντεῦθεν εὐχαριστῶ. Τὰς παραναγνώσεις κ.ἄ. ἐπεμβάσεις τοῦ Mohler ἐσημείωσα εἰς τὸ ὑπόμνημα διὰ τοῦ Μ.

[5] ΕΕΒΣ ΙΗ΄, 1948, σσ. 122 - 129.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

νὰ συναγάγῃ οὐδὲ νὰ ἐλέγξῃ πλέον ἠδύνατο, βεβαιοῖ δὲ τὸν φιλόσοφον ὅτι ἐπιφυλάσσει ἑαυτῷ τὸ δικαίωμα τοῦ ἐλέγχου, προκειμένου περὶ φίλου τοῦ ὁποίου τὰς μὲν ἀγαθὰς πράξεις πρέπει τις νὰ ἐπαινῇ, νὰ ψέγῃ δὲ τὰς κακάς. Ἂν δὲ συνεζήτησέ τι περὶ τοῦ Ἀμιρούτζη, τοῦτο ἔπραξε μετὰ τῶν κοινῶν καὶ εἰς τοὺς δύο φίλων. Κατὰ ταῦτα ἡ ἐπιστολὴ γίνεται ἀπολογητική, διὰ νὰ καταλήξῃ εἰς συμβουλὰς περὶ τοῦ τρόπου τῆς χρήσεως τῶν φίλων καὶ τῆς ἐκ τῶν ἐχθρῶν ἀκόμη ὠφελείας.

Ἐνδιαφέρον θὰ ἦτο νὰ ἐγνωρίζαμεν πότε ἐγράφη καὶ ἐστάλη ἡ ἐπιστολή. Μία καὶ μόνη ἐσωτερικὴ ἔνδειξις ὁδηγεῖ εἰς τὸ ὅτι ὁ Βησσαρίων ἔγραφε καθ᾽ ὃν χρόνον ὁ φιλόσοφος εὑρίσκετο εἰς Τραπεζοῦντα, μολονότι πρὸ τῆς ἁλώσεως αὐτῆς (1461) : «*Σὺ δ᾽ οὐκ ἂν τῶν ἐν τοῖς μεγίστοις βασιλείοις κερδῶν καὶ τιμῶν καὶ τοῦ παρὰ πάντων ἀποβλέπεσθαι τῶν ἐνταῦθα τὴν εἰς ἡμᾶς προθήσεις ἐπιδημίαν*» [1]. Ἀλλ᾽ ὡς ἔδειξεν ἤδη ὁ L. Lœnertz, ὁ Μαρκ. κῶδιξ 533 ἐγράφη μεταξὺ τῆς 1 Φεβρ. 1440 καὶ τῆς 5 Ἀπριλίου 1449 [2], ἑπομένως ἐντὸς τῶν ὁρίων τούτων, πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως πρέπει νὰ θέσωμεν τὴν ἐπιστολήν. Ἐξ αὐτῆς συνάγομεν καὶ ἄλλα καὶ τὴν ἐντύπωσιν τὴν ὁποίαν εἶχεν ἀφήσει εἰς τὸν καρδινάλιον ὁ φιλόσοφος μὲ τὴν «*μελίχρουν ἐκείνην αὐδήν, ἣν οὐκ ἄν τις ἁμάρτοι τῇ λύρᾳ παραβάλλων Ὀρφέως*» [3], ῥήτωρ σὺν τοῖς ἄλλοις ἱκανός.

ΝΙΚΟΛΑΟΣ Β. ΤΩΜΑΔΑΚΗΣ

---

[1] Βλ. περαιτέρω σ. 131, 22.
[2] Orientalia Christiana Periodica 10, 1944, σσ. 118 - 120.
[3] Ἔνθ᾽ ἀνωτ. στ. 24.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

## CODEX VATOPEDINUS 478 (XV s.) f. ρμ΄r

### *Τοῦ αὐτοῦ πρὸς τὸν βασιλέα Ἰωάννην τὸν Παλαιολόγον ἀπορήσαντα πρὸ τοῦ λατινισμοῦ·*

*Σὺ μέν, ὦ θειότατε βασιλεῦ, οὐ διαλείπεις ἡμᾶς ἀεὶ καὶ διὰ πάντων εὐεργετῶν, τῇ τε κοινῇ προνοίᾳ καὶ τοῖς ἰδίοις καθ' ἕκαστον. Εἰ δὲ καὶ δένδρον ἄψυχον, ἐπιμελείας γεωργικῆς ἀπολαῦον, οὐκ ἂν ἐλλείψειε μὴ οὐ τελεσφόρον ἐνεγκεῖν τὸν καρπόν, τίνα ἂν σχοίημεν λόγον ἡμεῖς οἱ τοῦ λόγου τρόφιμοι καὶ θεραπευταί, μὴ τὰς ἀπαρχὰς τῶν ἡμετέρων λόγων, τῷ σῷ κράτει προσφέροντες, ὃς καὶ λόγοις καὶ ἔργοις ἡμᾶς ἀλείφων, ἐπιδιδόναι ποιεῖς ὁσημέραι τοὺς μὴ πάντη τῶν σῶν ἀγαθῶν ἀναισθήτως ἔχοντας.*

*Ἔγωγ' ἂν αὐτὸς τῆς ἐμαυτοῦ οὐδενείας καὶ ἀσθενείας ἐπιλαθόμενος, ἥκω σοι φέρων ἀπόκρισίν τινα, συντεθεῖσαν ὡς δυνατὸν πρὸς ἐκείνην τὴν ζήτησιν ἥν ποτε πολλῶν παρόντων ἑσπέρας ἤδη βαθείας ἡμῖν προὔτεινας. Εἶχε δὲ ἡ ζήτησις οὕτως. Τί δή ποτε ποιῶν τὸν ἄνθρωπον ὁ θεὸς οὕτω καὶ ἀκίνητον καὶ βραδὺν εἰργάσατο πρὸς τὸ ἀγαθόν, τοσαύτας δὲ αὐτῷ προσέφυσε κῆρας ἐκ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους καὶ τῆς σωματικῆς ἀσθενείας, ὡς ἀναγκάζεσθαι σχεδὸν ἐξ αὐτῶν διηνεκῶς ἁμαρτάνειν. Ἔδει γὰρ ἢ τούτων αὐτὸν*
ρμ΄v *ἀπαλλάξαντα, μεγάλην τινὰ δύναμιν, | ἀγγελικὴν ἢ καὶ ταύτης μείζονα πρὸς τὸ τἀγαθὰ πότ' αὐτῷ ἐμποιῆσαι, ἢ μηκέτι τὴν ἐργασίαν ἀπαιτεῖν, ἧς τὴν δύναμιν οὐ προκατεβάλετο· μηδὲ κολάζειν οὕτως αὐτὸν ἁμαρτάνοντα, κόλασιν αἰωνίαν καὶ τέλος οὐκ ἔχουσαν.*

*Τούτοις δὲ καὶ αὐτὸς ἔοικε μαρτυρεῖν ὁ θεὸς ἐν ταῖς θείαις γραφαῖς, ἐγκεῖσθαι μὲν τὴν διάνοιαν τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, μηδένα δὲ εἶναι καθαρὸν ἀπὸ ῥύπου, μηδὲ ἁγνὴν ἔχειν τὴν καρδίαν ἀποφαινόμενος. Πρὸς δὴ τοὺς τοιούτους λόγους ἐροῦμεν ἅπερ ἂν χορηγήσαι θεὸς αὐτός. Ἐντεῦθεν ἀρξάμενος, ὁ θεός ἔστι μὲν ὤν· ἔστι δὲ ἀγαθός. Δύο ταῦτα ὀνόματα πάντων τῶν ἐπ' αὐτοῦ λεγομένων, κυριώτατά τε καὶ περιεκτικώτατα, καὶ τούτοις αὐτὸς ἑαυτὸν ὀνομάζει· τῷ μέν, ἐν τῇ παλαιᾷ Γραφῇ, τῷ Μωυσῇ χρηματίζων ἐπὶ τοῦ ὄρους· τῷ δέ, ἐν τῇ νέᾳ Διαθήκῃ τοῦ μονογενοῦς αὐτοῦ παιδός, εἰς τὸν κόσμον τοῦτον ἐλθόντος, καὶ τὴν ἐκ τοῦ πατρὸς γνῶσιν ὡς δυνατὸν ἡμῖν ἐκκαλύπτοντος. Ἀλλὰ ὄντα μὲν ἀκούοντες τὸν θεόν,*

---

3 *ὑμᾶς* cod. *ἡμᾶς* scripsi    13 *Ἡ ἀπόκρισις* sic in mrg. scriptum

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

ἐπὶ τὴν ἔννοιαν εὐθὺς ἐρχόμεθα τῆς μακαρίας οὐσίας αὐτοῦ, καθ' ἣν ἀϊδίως ἐστὶν ὑπὲρ πᾶσαν γνῶσιν, ὅλον ἐν ἑαυτῷ συλλαβὼν τὸ εἶναι, καθάπερ τι πέρατος ἄπειρον καὶ ἀόριστον. Ἀγαθὸν δὲ ἀκούοντες, ἐνέργειάν τινα νοοῦ-
ρμα'r μεν | πρὸς ἕτερον τείνουσαν, εἴπερ τὸ ἀγαθὸν τισίν ἐστιν ἀγαθὸν καὶ συνεισάγει πρὸς ἃ λέγει. Ἄμφω τοίνυν τὰ θεῖα ταῦτα ὀνόματα, τὸ μὲν τὴν οὐσίαν, τὸ δὲ τὴν ἐνέργειαν τοῦ θεοῦ σημαῖνον, διαιροῦνται, τὸ μὲν εἰς τρεῖς ὑποστάσεις, αἳ δὴ καλοῦνται πατήρ, υἱὸς καὶ ἅγιον πνεῦμα, τὸ δὲ εἰς πολλὰς καὶ διαφόρους δυνάμεις καὶ ἐνεργείας. Καὶ κατὰ μὲν τὴν ἑτέραν τῶν διαιρέσεων, τρισυπόστατος ὁ θεός, κατὰ δὲ τὴν ἑτέραν παντοδύναμος ἐστὶ καὶ λέγεται. Τί πρὸς ταῦτα φήσουσιν οἱ συκοφάνται, καὶ τῶν θεολόγων κατήγοροι; μέμψονται τὴν διαίρεσιν ὡς σύνθεσιν ἀπεργαζομένην. Οὐκοῦν μηδ' εἰς ὑπο-




στάσεις ὡς ὄντα τὸν θεὸν διαιρήτωσαν. Εἴπερ μὴ δῷς ἀγαθὸν εἰς τὰς ἐνεργείας, ἵν' ἰουδαϊκὸν αὐτοῖς ᾖ τὸ φρόνημα παντελῶς, καὶ τῆς αὐτῶν ἀπονοίας
ρμα'ν ἄξιον | ἀλλ' ἀδιαιρέτως διαιρεῖται, καὶ διῃρημένως συνάπτεται, κατὰ τοὺς θεολόγους εἰπεῖν. Καὶ εἰ μὴ ἔστιν ἐκεῖ σύνθεσις, οὐδ' ἐνταῦθα· εἰ δ' ἐνταῦθα, πάντως κἀκεῖ. Καὶ ταῦτα μὲν παρεκβατικώτερον.

Ἵνα δὲ πρὸς τὸ ἐξαρχῆς ἐπανέλθωμεν, ἐκ μὲν τῆς ἑτέρας τῶν διαιρέσεων, αἱ προσκυνηταὶ τρεῖς ἡμῖν ἀναφαίνονται ὑποστάσεις πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος. Τοῦ μέν, ἀϊδίως γεννῶντος τε καὶ προσβάλλοντος ἐκ τῆς ἑαυτοῦ οὐσίας· τῶν δέ, τοῦ μὲν γεννωμένου, τοῦ δὲ προϊόντος ἕτερον τρόπον, ἄρρητόν τε καὶ ἄγνωστον, μόναις ταῖς ἰδιότησι διακρινομένων εἴτ' οὖν ταῖς πρὸς ἀλλήλαις σχέσεσιν. Ἐκ δὲ τῆς ἑτέρας, ἀδιάφοροι πρὸς τὰ ὄντα πρόνοιαι, δυνάμεις τε καὶ ἐνέργειαι καὶ ἀγαθότητες, καθ' ἃς ὁ θεὸς ὀνομάζεται δημιουργός τε καὶ προνοητὴς καὶ κριτής, δίκαιός τε καὶ ἰσχυρὸς καὶ σοφός, βασιλεύς τε καὶ κύριος καὶ ὅσα ἄλλα τῆς καταφατικῆς θεολογίας ἐστίν. Ὡς μὲν τοίνυν ὢν ὁ θεός, ἀϊδίως ὑπέστησεν ἐκ τῆς αὐτοῦ οὐσίας τὸν υἱὸν καὶ λόγον καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἵνα τριὰς ᾖ τελεία, μονὰς τῇ φύσει καὶ τῇ

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*ουσία μένων. Ὡς δ᾽ ἀγαθός, ἀπό τινος ἀρχῆς ἧς ἠθέλησε τὸν κόσμον τοῦτον παρήγαγε, τὸν ἐξ ὁρατῶν τε καὶ ἀοράτων συνεστηκότα. Τοιαῦται γὰρ αἱ λογι-* ρμβ'r *καὶ δυνάμεις τῇ θελήσει | μετροῦνται, καὶ προάγονται εἰς ἐνέργειαν καὶ οὐκ ἐξ ἀνάγκης τῇ οὐσίᾳ παρέπονται. Ἐπεὶ τοίνυν ἐκ τοῦ ἑνὸς προῆλθε, κατὰ μὲν οὐσίαν δυὰς ἀΐδιος, κατὰ δὲ θέλησιν πλῆθος ἐν χρόνῳ, ἐκεῖ μὲν ταυτότης ἅπασαι καὶ ἰσότης, ἐν δὲ τῷ πλήθει τὸ ἕτερον εὐθὺς ἀναφαίνεται.*

*Καὶ τοῦτό μοι δοκοῦσι καὶ Ἕλληνες φαντασθέντες ἐκ ταὐτοῦ καὶ ἑτέρου τὸ πᾶν συνίστασθαι λέγουσι. Κἀκεῖ μέν, ὁμοτιμία πᾶσα καὶ ὁμοβουλία καὶ σύμπνοια, πάσης γὰρ ὑφέσεως καὶ ὑπεροχῆς ἡ οὐσία ἐκείνη τὸ παράπαν ἀμέθεκτος. Ἐνταῦθα δέ, τὸ πρῶτον καὶ δεύτερον καὶ τρίτον καὶ ἐφεξῆς, οὐσία τε καὶ ἀξία καὶ πᾶσι τοῖς ἄλλοις πλῆθος γὰρ ἄτακτον, οὐδ᾽ οὐρανὸς ἂν ὑποστῆσαι θελήσειε, μή τι γε δὴ θεός. Πῶς δ᾽ ἂν καὶ εἰ κόσμος ἢ ὀνομάζοιτο, μὴ ἐξ ἀνομοίων καὶ ἐναντίων ἀλλ᾽ ἐξ ὁμοίων συνεστηκὼς φύσεων ; Καθάπερ γὰρ ἁρμονία πολυμιγὴς ἔστιν ἕνωσις καὶ δίχα φρονεόντων συμφρόνησις, τὸν αὐτὸν δὴ τρόπον ὁ κόσμος οὗτος, τὸ παμμιγὲς καὶ πάμφωνον ἔργον, διαφέροντα καὶ μαχόμενα πάντως ἕξει τὰ μέρη, κεραννύμενα κατὰ λόγον τῆς τοῦ δημιουργοῦ τέχνης, καὶ πρὸς μίαν ἁρμονίαν ἔμμουσόν τε καὶ θαυμαστὴν συντελούμενα.*

*Οὕτω δὴ ἐν τῷ κόσμῳ, πρῶται μὲν φύσεις εἰσὶν αἱ λογικαί τε καὶ* ρμβ'v *νοεραὶ καὶ ἀσώματοι, νοΐ τε ἁπλοῖ καὶ ζωαὶ οὖσαι καὶ ὡσαύτως ἀεὶ τῇ ἑαυτῶν οὐσίᾳ προσδιαμένουσαι· δεύτεραι δὲ μετ᾽ αὐτὰς οὐκ ἔτι ζωαί, ζῷα δὲ λογικά τε καὶ νοερὰ καὶ ἅμα αἰσθητὰ καὶ σωματικῆς παχύτητος περικείμενα· τρίται δὲ πάλιν αἱ τῶν ἀλόγων ζῴων διάφοροι φύσεις, τῆς αἰσθητικῆς τε καὶ μεταβατικῆς, οὐκέτι δὲ καὶ τῆς λογικῆς μεμοιρασμένα δυνάμεως· καὶ μετ᾽ αὐτὰς αἱ τῶν ζωοφύτων καὶ τῶν φυτῶν καὶ ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι, κἀκεῖναι δὲ κατ᾽ ἀναλογίαν ἑκάστη, τῆς ἑτέρας προτιμωμένης καὶ δύναμιν ἰδιάζουσαν παρὰ τὰς λοιπὰς φέρουσαι.*

*Τούτων τοίνυν οὕτω παρὰ τοῦ δημιουργοῦ λόγου προηγουμένων τε καὶ διακεκριμένων καὶ τὸ εἶναι λαχόντων χάριτι μόνον, τί γὰρ ἂν καὶ εἰσήνεγκεν ἕκαστον ὅτε καὶ μηδαμῇ μηδαμῶς ἦν, εἴ τι μὴ τῷ ἰδίῳ εἶναι ἀρκούμενον ἐπέβαινε τοῦ ἑτέρου καὶ μὴ χάριν εἶχε τῆς τῶν ὑφειμένων ὑπεροχῆς, ἀλλ᾽ ἤ τι αὐτὸ τὴν ἀπόληψιν τῶν κρειττόνων καὶ οὐδ᾽ ἂν εἶναι τοιοῦτον ἤθελεν ; Ἆρ᾽ οὐκ ἂν ἐδόκει λήξειν καὶ μεμψίμοιρον εἶναι καὶ ἀγνοεῖν λόγους πίστεως, ἐν οἷς ἀνάγκη τὸ πρῶτον καὶ δεύτερον εἶναι καὶ τὸ παντοδαπὲς καὶ ποικίλον.*

*Εἰ γὰρ τὸ μὲν φυτὸν ἤθελε καὶ αἰσθάνεσθαι, καὶ ὁ στρόμβος ἐδυσχέραινεν ὅτι μὴ ἔστιν ἰχθύς, κἀκεῖνος ὅτι μὴ ἔστιν ἄνθρωπος, καὶ οὗ-* ρμγ'r *τος ὅτι μὴ | ἔστιν ἄγγελος, τί γε ἄλλο ἢ ἀκοσμία καὶ σύγχυσις ; καὶ οὐκέτι κόσμος, ἀλλ᾽ ὁμοῦ πάντες χρήματα ! Τί ἂν ἑκάστῳ τὸ ὀφειλόμενον ; συντηρεῖν τὴν ἑαυτοῦ φύσιν καὶ πρὸς ὃ γέγονεν ἀποδιδόναι κοσμίως καὶ τὸ καθ᾽ αὑτὸ συντελεῖν εἰς τὴν τοῦ παντὸς σύστασιν. Εἰ δ᾽ ἕτερα τούτων*

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*βούλοιτο, βλάψειε μὲν ἂν καὶ τὸ πᾶν ἴσως, ὅσα γε τοῦ μέρους στερούμενον, ἑαυτὸ δὲ πάντως ἀφανιεῖ, καθάπερ μέλος τοῦ ὅλου σώματος ἀπορρηγνύμενον καὶ νεκρούμενον. Σὺ τίς εἶ, φησιν ὁ ἀπόστολος, ὁ ἀνταποκρινόμενος τῷ θεῷ ; τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησαν οὕτως ; ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν ; πλὴν ἀλλὰ τοῖς μὲν ἀλόγοις τε καὶ ἀψύχοις ἡ φύσις ἀρκεῖ μόνη πρὸς τὴν ἑαυτῶν συντήρησιν· τοῖς δὲ λογικοῖς τε καὶ νοεροῖς, ἅ τε μὴ τὸ εἶναι μόνον ἁπλῶς, ἀλλὰ καὶ τὸ εἶναι λαχοῦσιν, ἑτέρα τις ἀρχὴ καὶ δύναμις δέδοται, δι᾽ ἧς οὐ μόνον ἑαυτὰ ῥυθμίζειν ἐς ἄγαν καὶ τῇ δημιουργῷ καὶ παντοδυνάμῳ φύσει προσοικεῖν οὖν δύνανται, ἀλλὰ καὶ τῶν* ρμγ'ν *ὑποκειμένων ἐπιστατεῖν φύσεων· αὕτη δὲ καλεῖται αὐτεξουσιότης, ἀξίωμα τοῦτο δεσποτικῆς φύσεως, ἐξ αὐτῆς τῆς πρώτης καταβολῆς αὐτῇ συγκεκληρωμένον· καὶ διὰ τοῦτο κατ᾽ εἰκόνα θεοῦ γεγονέναι ἄγγελοί τε καὶ ἄνθρωποι καὶ λέγονται καὶ πιστεύονται. Τοῦτο καθάπερ τὸ ἀναπνεῖν τοῖς τελείοις τῶν ζῴων, οὕτως ἀναγκαίως τοῖς ἐν τοῖς οὖσι τελείοις, λέγω δὴ τοῖς ἔχουσι νοῦν καὶ λόγον, καὶ εἰς ἀεὶ διαμένειν καὶ δεσπόζειν ἑτέρων πεπιστωμένοις. Ἆρ᾽ οὖν διὰ τοῦτο μόνοι τῶν ὄντων ἡμεῖς <οὐκ> εὐχαριστήσομεν τῷ θεῷ, καὶ τὴν ἑαυτῶν φύσιν κακίσομεν; ὅτι γνωστικοὶ τῶν δεόντων ἐσμὲν καὶ ὅτι τῶν ἐναντίον διακριτικοὶ διὰ τοῦτο τἀναντία ποιήσομεν ; Καὶ ποίας οὐκ ἂν εἴημεν οὕτω κολάσεώς τε καὶ καταγνώσεως ἄξιοι ;*

*Καθάπερ εἴ τις βασιλεὺς τοῦ κόσμου παντὸς προκεχειρισμένος, ὁ δέ, τὴν ἁλουργίδα καὶ τὸ διάδημα ἀπορρίψας, μετὰ πορνῶν καὶ μίμων διαβιοῦν ἤθελεν, εἶτα τὸ ἐξεῖναι αὐτῷ προυβάλλετο καὶ τὸν δόντα τὴν ἀρχὴν ᾐτιᾶτο ! Ἤδη μὲν οὖν ἤνεγκε καὶ τοιαῦτα ὁ χρόνος καὶ μέχρι τοῦ νῦν ᾄδονται, Σαρδανάπαλός τε καὶ Νέρων, ὁ μὲν μετὰ γυναικῶν ἔρια ξαίνων καὶ τἆλλα ἡδυπαθῶν, ὁ δὲ τραγῳδοὺς [καὶ] καὶ ὑποκριτὰς μιμούμενος, καὶ τὰ θέατρα* ρμδ'r *κατακόπτων ! Ἀλλὰ σκόπησον ὅπως αἰσχρὰ ἦν, παρὰ τὸ τῆς φύσεως βούλημα. Τοιοῦτον ἄρα καὶ ἄνθρωπος παρασυμβεβλημένος τοῖς ἀνοήτοις κτήνεσιν, ὅ φησιν ὁ προφήτης, καὶ ὡμοιωμένος αὐτοῖς. Ἀρχικῆς ἐγένου φύσεως ἄνθρωπε, ἄρχειν ὀφείλεις, μάλιστα μὲν τῶν ἐν σοὶ παθῶν, ἔπειτα τῶν ὑποτεταγμένων ἀλόγων καὶ τοῦ κόσμου παντός· μὴ οὖν τὴν τῆς σπουδῆς ἀφορμὴν ῥαθυμίας ποιήσῃ πρόφασιν. Ἀρχὴ πᾶσα σπουδῆς καὶ ἐγρηγόρσεως δεῖται καὶ γὰρ ἔχει τοὺς ἀντιτεταγμένους. Νήφειν ὀφείλεις ἀεὶ καὶ ἐγρηγορεῖν· μηδὲν*

---

*105* Ro. 9,20. *131* Ps. 48,12,20.

---

*113 προσοικεῖ* cod. *προσοικεῖν* scripsi *120 ἡμεῖς εὐχ.* cod. *ἡμεῖς <οὐκ> εὐχ.* scripsi *128 - 129 καὶ* bis in cod. delevi

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*παρὰ τὸν λόγον ποιεῖν· μηδὲν κατὰ πάθος· μηδὲν ἐκ τοῦ χείρονος μέρους.*

*Ἀλλ' ἔξεστί μοι, φησί, καὶ τἀναντία ποιεῖν· καὶ καθεύδειν καὶ ῥαθυμεῖν καὶ τρυφεῖν, καὶ ταῖς ἡδοναῖς ὑφιέναι. Ἐν βορβόρῳ δέ εἰπέ μοι, κυλίεσθαι καὶ τῷ πηλῷ τὴν ὄψιν προσαναπλάττειν οὐκ ἔξεστιν ; ἀλλ' οὐκ ἂν ἕλοις τοῦτο· χοίρων γὰρ ἴδιον. Μὴ οὖν ἔνθα μὲν ἡ αἴσθησις τὸ αἰσχρὸν ὑποβάλλει, ταῦτα προτροπάδην φεῦγε, ἔνθα δὲ ὁ λόγος μηκέθ' ὁμοίως, ἀλλὰ κἀκεῖ τὸν αὐτὸν τρόπον ὃ καὶ πολλῷ μᾶλλον ὁ λόγος τοῦτο κρίνει καλόν. Εἰ μὲν ἀναγκαῖον, ἑλοῦ· εἰ δὲ μή, παράπεμψον. Τὸ πάθος τοῦτο κακῶς ὑποβάλλῃ ; φύγε τοῦτο παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ· ποιήσας γὰρ αὐτό, τῆς* ϱμδ'v *ἀρχῆς | ἀποβιβασθείσῃ, παραμεληθείσῃ, δουλεύσεις, ἁπλῶς εἰπεῖν, οὐκέτ' ἄνθρωπος ἀλλὰ θηρίον ἔσῃ.*

*Ἀλλὰ τυραννοῦμαί, φησιν, ὑπὸ τῶν παθῶν. Ποίαν τινὰ ταύτην μοι τὴν τυραννίδα λέγεις ; Εἰ μὲν τὴν κολακείαν καὶ τὸν ὡς ἄν τις εἴποι γαργαλισμόν, ἐγὼ μὲν οὐχ ὁρῶ συνιόντα ταυτὶ τὰ ὀνόματα. Κολακεία γὰρ καὶ τυραννὶς ἀσύμβατα καὶ τῷ παντὶ διαφέροντα καὶ τὸ κολακεῦον ἀπώσασθαι παντὶ ῥάδιον. Εἰ δὲ τὴν ἐξ ἔθους τε καὶ μελέτης τὴν ἐν μακρῷ τῷ χρόνῳ προσγινομένην, ταύτην μὲν ὁμολογῶ καὶ αὐτὸς τυραννίδα καὶ πασῶν γε εἶναι βιαιοτάτην καὶ οὐχ ὅτι τὰ ἡδέα καὶ σαίνειν πεφυκότα τὴν αἴσθησιν, ἀλλὰ καὶ πολλὰ τῶν οὐδὲν ἐχόντων τερπνὸν ἐξ ἔθους μόνου τυραννικὰ καὶ δυσαπόβλητα γίνεσθαι. Τίλλουσι γοῦν τὰς τρίχας ἐν τοῖς φροντίσιν ἔνιοι. καὶ ἄλλοι ποιοῦσι τοιαῦτα ἕτερα πρὸς οὐδὲν δέον. Ἀλλὰ τὴν τυραννίδα ταύτην αὐτὸς σαυτῷ κατεσκεύασας· ὁ γὰρ ἐνὸν τοῖς κακοῖς μὴ συνεθισθῆναι πρὸς τοῦθ' ὑπαχθείς, ἑαυτὸν αἰτιᾶσθαι δίκαιος. Δεῖ δὴ πόνων ἐνταῦθα καὶ τυραννίδος ἑτέρας πρὸς τοὐναντίον μεταμαθεῖν τὰ κακὰ καὶ ἀποξῦσαι τὸ ἔθος καὶ τοῖς καλοῖς αὖθις συνεθισθῆναι· καὶ διὰ τοῦτο* ϱμε'r *τραχεῖα τε καὶ ἀνάντης καὶ μυρίων μεστὴ πόνων ἡ ἀρετὴ καὶ δοκεῖ καὶ λέγεται. Ἐπεὶ ἄλλως γε, τίς οὐκ οἶδε κατὰ φύσιν ἡμῖν οὖσαν τὴν ἀρετὴν καὶ παντὸς μᾶλλον ἀνύσαι ῥαδίαν ; Οἶδας ὃ τῷ πλησίον καλὸν ποιήσεις ; ὃ σαυτῷ βούλει παρ' ἐκείνου γενέσθαι ἐν ταῖς ὁμοίαις χρείαις. Οἶδας ὃ κακὸν αὐτῷ μὴ ποιήσεις ; ὃ καὶ σὺ φυλάττει παθεῖν παρ' ἐκείνου. Μή τι ἡ φύσις ἀντιπίπτει πρὸς ταῦτα ; οἶδας τὴν πρὸς θεὸν ἀγάπην καὶ τὸν φόβον ὅσον ὀφείλεις ; ἃ καὶ αὐτὸς ἀπαιτεῖς παρὰ τῶν σῶν δούλων, ἵνα μὴ λέγω συνδούλων. Ἐν ταύταις δὲ ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος ἀνακεφαλαιοῦται, φησίν. Πᾶν μέτρον ἄριστον· τὸ δὲ μέτρον, ὁ λόγος κρίνει, καὶ ὁ νόμος διδάσκει. Πείθου τοίνυν τῷ λόγῳ τε καὶ τῷ νόμῳ.*

---

*169* Math. 22,40.

---

*168 – 169 συνδουδούλων* cod.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*Μὴ καὶ ἡ φύσις τοῦτ' οὐ λέγει; οὐχ ὁρᾷς ὡς πᾶσα φύσις ὑπὸ τοῦ μέτρου συνίσταται, ὑπ' ἀμετρίας δὲ διαφθείρεται; τί δ' ἄλλο ἐστὶν ἡ ἀρετή, πλὴν μέτρον; Ἀλλὰ τὸ σῶμά, φησι, καὶ τὸ χεῖρον μέρος καὶ τὸ κάτω βρῖθον ἐφόλκιον καὶ μυρίαι ἐνταῦθα ἀραὶ καὶ κακηγορίαι. Θαυμάσαι δὲ ἄξιον τῶν ταῦτα λεγόντων ὡς, ἐν οἷς μὲν ἂν δέῃ πράττειν δοῦλοι τοῦ σώματός εἰσιν ἀκριβεῖς καὶ μυρίοις τρόποις αὐτὸ θεραπεύουσιν, ἐν οἷς* ρμε'v *δ' ὑπὲρ τῶν πεπραγμένων ἀπολογεῖσθαι τότε τὸ σῶμα κακίζουσι. Ἄνθρωπε, δεσπόζειν ἐτάχθης τοῦ σώματος· μή, γὰρ αὐτῷ δουλεύειν; δουλαγωγεῖν αὐτὸ καὶ κατάρχειν· μὴ γὰρ ἐλεύθερον ἔχειν; Εἰ δὲ τὰς ἡνίας ὅλας ἀφεὶς καὶ τραχὺ καὶ ἀγέρωχον ἀποφήνας ἐκφερῇ παρ' αὐτοῦ πρὸς ἃ μὴ βούλοι, τίς εἰπέ μοι ἐπιβάτην ἀφεὶς ἐγκαλέσει τῷ ἵππῳ;*

*Ἀλλ' ἤθελόν, φησιν, ἀπηλλάχθαι τοῦ σώματος καὶ τοῖς ἀγγέλοις ὅμοια βιοτεύειν. Πάλιν μοι τὰ τῆς ἀγνωμοσύνης ἐκεῖνα ῥήματα λέγεις. Εἰ δὲ καὶ ὁ βοῦς εἶπεν, ἤθελον ἄνθρωπος εἶναι, οὐκ ἂν ἐδόκει δικαιότερα λέγειν; Ἀλλ' οὐκ ἄν, φησιν, εἶπεν· ἐμοὶ γὰρ βέλτιον ἦν γενέσθαι βοΐ, ἢ τοιαύτης τυχεῖν φύσεως. Ἤδη μέν σοι καὶ πρότερον εἶπον, ὡς οὐδείς σοι τὴν φύσιν ἀμείβειν δίδωσιν, οὐδὲ τοὺς ὅρους τοῦ εἶναι σαυτῷ μετρεῖν, τῷ γε πρὶν εἶναι, μηδαμῇ μηδαμῶς ὄντι· οὐδὲ τὰ ὄντα πάντ' ἀναιρεῖν, τὸ σαυτοῦ μέρος· πλὴν ἀλλὰ γενοῦ βοῦς ἐφόσον βούλει. Καὶ ἄνθρωπος μένων μίμησαι τὸ τοῦ βοὸς τληπαθὲς καὶ καρτερικὸν ἐν τοῖς πόνοις· ὑπάγαγέ σου τὸν αὐχένα τῷ τοῦ νόμου ζυγῷ· ἔλαυσον τὸ φορτίον τὸ ἐλαφρόν· ἐπίγνωθι τὸν κτησάμενον, Ἡσαΐας διακελεύεταί σοι· μίμησαι καὶ τὴν ἀγγελικὴν φύσιν εἰ βούλει, καθό-* ρμς'r *σον ἔνεστι, τὸν ἄπαυστον ἐκείνων πρὸς θεὸν πόθον καὶ ἀνεπίστρεπτον τὸ πρὸς τὰς θείας αὐγὰς ἀτρεμεῖ τῷ ὄμματι συντετάχθαι, τὸ ὑμνολογικὸν ἀεὶ καὶ κηλῖδος πάσης ἀμέθεκτον.*

*Εἰ δὲ καὶ φύσιν ἤθελες ἔχειν τὴν αὐτὴν ἐκείνοις, τοῦτο μεμφομένους τῷ δημιουργῷ, τοῦτο διαβόλου νόσημα. Καὶ γὰρ κἀκεῖνος τῶν ὑπὲρ φύσιν ἐπιθυμῶν καὶ τῶν κατὰ φύσιν ἐξέπεσεν· ἐπεὶ γὰρ ἄγγελος ἦν καὶ τῆς πρώτης ἐν κτιστοῖς φύσεως, ἠθέλησε καὶ θεὸς γενέσθαι. Καὶ οὐ τυχὸν ἄγγελος γεγονώς, οὐκ ἂν ἀποχρῶν ἡγήσω, μαθὼν ἅπαξ, μὴ τοῖς οὖσιν ἀρκεῖσθαι; Ὁρᾷς, ὡς κἀκείνης ἅπτεται τῆς φύσεως ἡ τροπή, κἀκείνην ἐκπεσεῖν ἔνεστι; Τί γὰρ ἀγγέλου λαμπρότερόν τε καὶ καθαρώτερον; τί δὲ τοῦ οὐρανοῦ ἀσφαλέστερον; Ἀλλ' ὅμως ἐκεῖνος, καὶ σκότος ἐγένετο καὶ κατέπεσε καὶ ἐπὶ τὴν ἄκραν κακίαν ἀπὸ τῆς ἄκρας ἠνέχθη πρὸς τἀγαθὸν οἰκειώσεως. Πόθεν τοῦτο παθών; ἀπὸ ῥαθυμίας μόνης, ἣ καὶ σὲ πρὸς τοὺς τοιούτους λόγους ἐξάγει καὶ τὴν σαυτοῦ φύσιν αἰτιᾶσθαι παρασκευάζει. Πόσον ὀφείλεις εὐχαριστεῖν, ὅτι ἐκεῖνος μέν, ἅπαξ πεσών, οὐδέποθ' ἑαυτὸν ἀνακαλέσασθαι δύνα-*

---

*193* Es. 1,3.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

ται, πάντως δὲ οὐ δὲ βούλεται. Οὐδὲ πολλάκις πίπτων, τοσαυτάκις ἀνί-
ϱμς'v στασθαι δύνῃ καὶ πάλιν πρὸς τἀγαθὸν προσχωρεῖν. Εἰ δὲ καὶ σὺ τῷ πτώματι ἐπιμένεις, τότε λοιπὸν ὡς τοῖς αὐτοῖς ὑπεύθυνος ὢν τὴν αὐτὴν ἐκείνῳ τίσεις καὶ δίκην. Ἀλλ' ὅπερ ἔλεγον, ἐκεῖνος οὐ τῷ σώματι συμπεπλεγμένος, οὔτε τὸν ὑποβάλλοντα ἔχων, ἀφ' ἑαυτοῦ μόνον καὶ τῆς οἰκείας ὡς ἂν τις εἴποι παραφροσύνης καὶ τοῦ κόρου τῶν ἀγαθῶν, ἐφρόνησε μὲν ὑπὲρ τὴν ἑαυτοῦ φύσιν, ἀπέστη δὲ τοῦ θεοῦ, κατέπεσε δὲ πτῶμα ἐξαίσιον, δημιουργὸς γενόμενος τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ καὶ ἡμῖν πρόξενος. Αὐτίκα γὰρ τοῖς πρώτοις ὑπὸ θεοῦ πλασθεῖσι φθονήσας, τὴν αὐτὴν ἐκέρασε κύλικα καὶ τὴν ὀλέθριον εἰσήνεγκε συμβουλήν, ἔσεσθε, εἰπών, ὡς θεοί, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. Βλέπεις, πόθεν αὐτοῖς ἵστησι τὴν πατρίδα; καὶ πῶς ὑποσκελίζειν πειρᾶται ἐξ ὧν καὶ αὐτὸς κατέπεσεν; Οἱ δέ, ταῖς ὑπὲρ φύσιν φυσηθέντες ἐλπίσιν, οὔτ' ἀξιόπιστον ὁρῶντες τὸν σύμβουλον, οὔτ' ἐκ τοῦ σώματος οὐδεμίαν ἀνάγκην ἔχοντες ὥσπερ ἡμεῖς, οὐδέπω γὰρ ὑπέκειντο τοῖς τοῦ σώματος πάθεσι, προὔδωκαν οὕτω ῥαδίως ἀντὶ τῶν ἐν ἐλπίσι τὰ ἐν χερσὶν ἀγαθά, καὶ τὴν ἐντολὴν τοῦ κτίσαντος κατεπάτησαν, δελεασθέντες, εἰκῇ καὶ μάτην, τῷ ὡραίῳ τῆς ὄψεως τοῦ φυτοῦ!

Βλέπεις ὡς οὐδεμία ἀνάγκη, ῥᾳθυμία δὲ μόνη καὶ ἑκούσιος ἡδυπά-
ϱμζ'r θεια τῶν κακῶν ἀρχηγός; ἐντεῦθεν ἐπὶ τἀναντία τῶν ἐναντίων ἰάματα, πόνοις καταδικάζονται καί, ὅ φησιν ὁ Πλάτων, τοῦ ἡδέος λαβόμενοι, συνεπισπῶνται τὸ λυπηρὸν ἅτε ἐκείνῳ κορυφῆς ἐξημμένον, καὶ τοῦ τῆς τρυφῆς χωρίου ῥυφέντες ἀγῶνα καὶ πόλεμον ἀναδέχονται πρός τε τὰ πάθη τοῦ σώματος καὶ τὸν φιλιωθέντα κακῶς ἐξαρχῆς, ἵν' ἐν τῇ πρὸς αὐτὰ πάλῃ καὶ μάχῃ νήφοντες διατελῶσι. Διὰ τοῦτο καὶ θανάτῳ τιμῶνται καὶ ὅροις τακτοῖς τὴν ζωὴν περιγράφονται. Πειρατήριον γὰρ λοιπὸν ὁ βίος αὐτοῖς γέγονε, κατὰ τὸν Ἰώβ, καὶ στάδιον ἀγώνων καὶ παλαισμάτων πλῆρες· πᾶν δὲ στάδιον ἀνάγκη λυθῆναι καὶ τὸν τῶν στεφάνων καὶ τῆς ἀναρρήσεως ἐπιστῆναι καιρόν. Ἦ σὺ καθεύδων ἐβούλου στεφανωθῆναι καὶ ῥαθυμῶν καὶ χασμώμενος ἀνακηρυχθῆναι; ἢ τοῖς γενναίοις τὰ ἆθλα διακοπῆναι, διὰ τὴν σὴν ἔκλυσιν σοῦ φησιν. Ἀλλὰ κἀκείνοις ἤθελον τιμηθῆναι, κἀμὲ μὴ πικρῶς κολασθῆναι, μὴ δὲ διὰ μικρὰν καὶ πρόσκαιρον ἁμαρτίαν ἀθάνατα βασανίζεσθαι.

Ἧκεν ἡμῖν ὁ λόγος, ἐπὶ τὸ πολυθρύλητον ζήτημα καὶ τοῖς πολλοῖς
ϱμζ'v τῶν ῥαθύμων οὐκ εὐπαράδεκτον, περὶ | τοῦ τῆς κολάσεως αἰωνίου καὶ ἀπεράντου. Καὶ πρὸς τοῦτο λοιπὸν ἀνάγκη τὸν λόγον ἡμῖν ἐπαφεῖναι καίτοι γε

---

*217* Gen. 3,5. *228* Plat. Phaed. 60b. *234* Job. 7,1.

---

*236, 237* ἢ σὺ... ἢ τοῖς γεν. scripsi εἰ σὺ... εἰ τοῖς γενν. cod.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

πολλαχοῦ καὶ πολλοῖς τῶν ἁγίων εἰρημένον τε καὶ εὐκρινημένον. Ἀλλὰ καὶ ἡμῖν ὀλίγα ῥητέον, ἐπεί περ ἅπαξ εἰς τὰ τοιαῦτα καθήκαμεν. Πρῶτον μὲν οὖν ἐξ ἐφόδου προσβαίνωμεν πρὸς αὐτούς, ἵν' εὐκαταγώνιστοι καὶ πρὸς τὰ λοιπὰ γένωνται. Θεὸς αὐτὸς ἀπεφήνατο τὴν κόλασιν αἰώνιον εἶναι καὶ τὴν ζωὴν αἰώνιον καὶ τὸν σκώληκα τῶν ἁμαρτωλῶν οὐ τελευτήσειν καὶ τὸ πῦρ οὐ σβεσθήσεσθαι. Θεὸν δὲ ἀκούσας, μηδὲν λοιπὸν προσπεριεργάζου· οἶδε γὰρ ὁ ποιητὴς ὃ διαθήσει τὸ ποίημα. Μᾶλλον δ' αὐτὸς σεαυτὸν ἐπὶ κεφαλὴν ὠθῶν εἰς τὴν κόλασιν, μηδὲν ἐκεῖνον αἰτιῶ, μήδ' ἀπαίτει σαυτοῦ φιλανθρωπότερον περὶ σὲ γενέσθαι. Εἰ μὲν γὰρ ἠγνόεις, εἶχεν ἂν λόγον ἡ πρόφασις. Εἰ δὲ διὰ προφητῶν παιδαγωγούμενος, δι' ἀποστόλων νουθετούμενος, δι' αὐτοῦ τοῦ Κυρίου τὸ μέλλον ἅπαν προδιδασκόμενος, ἔτι τοῖς κακοῖς ἐπιμένεις, τί ἂν ἔδρασας, εἰπέ μοι, εἰ μὴ οὕτως εἶχε τὰ πράγματα; Εἰ γὰρ κολάσεως ἠπειλημένης, καὶ τοιαύτης κολάσεως, οὐδὲν ἀνακόπτῃ τῆς ἐπὶ τὰ φαῦλα ῥοπῆς, πῶς ἂν ἔτι τῶν κακῶν ἀνήνεγκας, κουφοτέραν τὴν κόλασιν προσδο-
εμη'r κῶν; Διὰ τοῦτο καὶ ἡτοίμασεν ὁ θεὸς τὴν κόλασιν | καὶ ἠπείλησεν αὐτὴν πόρρωθεν ὑπὸ φιλανθρωπίας ἀφάτου καὶ ἀγαθότητος, ἵνα τῷ φόβῳ σωφρονιζόμενοι μὴ ῥᾳδίως οὕτω τοῖς ἁμαρτήμασιν ἑαυτοὺς ἐπιρρίπτωμεν.

Χωρὶς δὲ τούτων, μὴ φιλάνθρωπον ἐννόει τὸν θεὸν μόνον, ἀλλὰ καὶ δίκαιον. Ἐπεὶ καὶ πολυώνυμός τε καὶ πολυδύναμος, ἧπερ ἡμῖν εἴρηται, καὶ τῇ θελήσει μετρουμένας ἀεὶ τὰς δυνάμεις ἔχει καὶ προαγομένας εἰς τὴν ἐνέργειαν. Τὴν μὲν οὖν χρηστότητα καὶ φιλανθρωπίαν τῇ παρούσῃ ζωῇ συνεπλήρωσε καὶ πολλαχόθεν ἡμᾶς ἐπὶ τὰ καλὰ προσβιβάζει καὶ τῶν κακῶν ἀναστέλλει· νόμον ἔδωκεν εἰς βοήθειαν· ἀγγέλους ἐπέστησε φύλακας· πρὸ τούτων, τὸ συνειδὸς ἡμῖν ἐγκατέσπειρεν, ἔνοικόν τινα τῶν πραττομένων δοκιμαστήν· προφήτας ἔπεμψε, σημεῖα καὶ τέρατα δι' αὐτῶν κατὰ γενεὰς εἰργάσατο καὶ τέλος τὸν μονογενῆ αὐτοῦ υἱὸν ὑπὲρ ἡμῶν ἔδωκεν. Ὢ τοῦ μεγέθους τῆς ἀγαθότητος! Πῶς ἐλθὼν εἰς τὸν κόσμον τοῦτον, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη; οὐκ ἀγγελικῆς τινος ἐπιλαβόμενος φύσεως, ἀλλὰ σπέρματος Ἀβραάμ, κατὰ τὸν ἀπόστολον, καὶ τοῦ ἡμετέρου τούτου φυράματος καὶ στομώσας αὐτὸ τῷ πυρὶ τῆς θεότητος, οἷον βαφῇ
εμη'v σίδηρον, ἀπρόσιτον εἰργάσατο τοῖς παλαμναίοις ἐχθροῖς, καὶ εἰς | οὐρανοὺς ἀναγαγών, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, τῷ πατρὶ συνεκάθησε. Τίς ἀξίως θαυμάσει τῆς τοσαύτης δωρεᾶς τὸ μέγεθος; Τοῖς δὲ λοιποῖς ἡμῖν, ἅτε λοιπὴ κεφαλὴ γεγονὼς ἡμῶν καὶ μέλη ἑαυτοῦ τοὺς εἰς αὐτὸν πιστεύοντος ποιησάμενος, πνεύματος ἁγίου χάριν καὶ δύναμιν ἔπεμψε καὶ τὴν διὰ τοῦ βαπτίσματος ἀναγέννησιν ἐδωρήσατο καὶ οὕτως υἱοὺς θεοῦ καὶ συγκληρονόμους τῆς βασιλείας αὐτοῦ κατεστήσατο. Εἰ τοίνυν, μετὰ τὰς τοσαύτας

---

*247* Mat. 25,46. *248–249* Mar. 9,48. *271* He. 2.16. *279* Ro. 8,17.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*εὐεργεσίας, ἀχάριστοι γεγονότες ἀθετήσομεν τὴν εἰς αὐτὸν πίστιν καὶ τῶν ἐντολῶν αὐτοῦ καταφρονήσομεν καὶ τὸ αἷμα τῆς διαθήκης αὐτοῦ ἐν ᾧ ἡγιάσθημεν κοινὸν ἡγησόμεθα, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσομεν, τί λοιπόν, ἀλλ' ἢ τὸ δίκαιον αὐτοῦ φανῆναι καὶ τὸν τῆς δίκης ἐπιστῆναι καιρὸν ἐν ᾧ τὰ κατ' ἀξίαν ἕκαστος τῶν βεβιωμένων αὐτῶν λήψεται; Τοῦτο γάρ ἐστιν ὁ τοῦ δικαίου λόγος· οὐ τοῖς ἀγαθοῖς μόνον τὰ γέρα καὶ τὰς τιμάς, ἀλλὰ καὶ τοῖς φαύλοις ἀποδιδόναι τὴν πρέπουσαν δίκην. Εἰ δὲ τούτοις ἀξιοῖς ὡρίσθαι καὶ πέρας ἔχειν τὴν κόλασιν, ἦ που κἀκείνοις ἀξιώσεις πρόσκαιρα εἶναι τὰ ἀγαθά. Τοῦτο δ' οὐκ ἔστι λόγον ἔχον, ἀφαιρεθῆναι ποτὲ τοὺς ἁγίους τῶν ἀγαθῶν ὑπὲρ ὧν ἔκαμον καὶ διαιρεθῆναι θεῷ, δι' ὃν τοῦ κόσμου παν-* ρμθ'r *τὸς κατεφρόνησαν. | Τὰ δ' ἐναντία τοῖς ἐναντίοις ὀφείλεται καί, εἰ τούτοις αἰώνιος ἡ ζωή, πάντως ἐκείνοις διηνεκὴς ἡ κόλασις· καὶ οὕτως ὁ τοῦ δικαίου σῴζεται λόγος.*

*Σκόπει δὲ ἐντεῦθεν. Ὁ ἁμαρτωλὸς προετίμησε τῆς τοῦ θεοῦ ἀγάπης ἡδονήν τινα κατὰ πάθος ἢ ἀνθρωπίνην εὐημερίαν καὶ δόξαν, ἢ ὅλως τι τῶν προσκαίρων. Δῆλος οὖν ὅτι προετίμησεν αὐτὰ οὐχ ὡς πρόσκαιρα καὶ ταχὺ παρερχόμενα ἀλλ' ὡς καθέξων αὐτὰ διὰ παντός, εἴπερ ἠδύνατο, καὶ διὰ παντὸς τοῦ θεοῦ καταφρονήσων. Ἀλγεῖ γοῦν αὐτῶν ἀποσπώμενος καὶ προσίσχεται τούτοις ἐντόνως τὸν ἅπαντα χρόνον, ὁ δὲ θεὸς αὐτῷ λόγος ἄλλως τὸ κενὸν ὄνομα. Δίκαιος οὖν ἐστι, καὶ κατὰ τὴν αὐτοῦ κρίσιν, τοῦ μὲν θεοῦ διηνεκῶς αὐτοῦ ἐκπεσεῖν, οὗπερ εἵλετο διηνεκῶς καταφρονεῖν, ἐκπεσεῖν δὲ κἀκείνων ἃ προετίμησεν, ἐπεί περ οὐ πεφύκασι παραμένειν. Ἔκπτωσις δὲ θεοῦ διηνεκὴς καὶ τελεία, διηνεκὴς ἔστι βάσανος. Αὕτη κατ' ἀναλογίαν τῶν ἑκάστῳ πεπλημμελημένων καὶ σκότος ἐστὶ βαθὺ καὶ ἐξώτερον, τοῖς τὸ ἔνδον ἀγαπήσασι σκότος τῆς ἀγνωσίας, καὶ πρὸς τὰς θείας αὐγὰς ἀτενίσαι μὴ βουληθεῖσι· καὶ σκώληξ ἰοβόλος τοῖς τὴν ἡδονὴν τῆς σαρκὸς περὶ πολλοῦ τεθειμένοις καὶ τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδηθεῖσι· καὶ* ρμθ'v *τάρταρος τοῖς ἐψυγμένοις | περὶ τὴν εἰς θεὸν καὶ τὸν πλησίον ἀγάπην καὶ πῦρ ἀφεγγὲς τοῖς ἐκκεκαυμένοις ὑπὸ θυμοῦ, καὶ μανικοῖς τὸν τρόπον καὶ θηριώδεσι· καὶ βρυγμὸς ὀδόντων τοῖς αἰσχρὰ καὶ κακήγορα φθεγγομένοις καὶ πᾶν ὅ τι τύχοι προϊεῖσι τοῦ στόματος. Εἰ γὰρ ὁ θεὸς ἔσται τὰ πάντα ἐν πᾶσι, τοῖς ἐκπεσοῦσι θεοῦ οὐδὲν ἐλλελείπεται, πλὴν ἡ κακία μόνη. Κακία δὲ ἡδονῆς ἀφῃρημένη, κόλασίς ἐστι ψυχῆς, ὥσπερ ἡ νόσος τοῦ σώματος.*

*Ἀλλὰ δὴ καὶ οὕτω σκεπτέον. Ἡ αἰώνιος ἐκείνη ζωὴ καὶ ἡ τῶν δικαίων ἀπόλαυσις φύεται μὲν ἐν τῷδε τῷ βίῳ καὶ πρόεισιν εἰς τὸ τέλειον, τελειοῦται δὲ ἐν ἐκείνῳ καὶ τὸ ἄκρον ἀπολαμβάνει, καθάπερ τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ*

---

*283* He. 9,20. *291* Plat. Phædon 103 b.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*πλαττόμενον φυσικῶς, ὅταν εἰς φῶς προέλθῃ, τότε βρέφος τέλειον καὶ ἄνθρωπος ἤδη γίνεται. Τοῖς τοίνυν ἐνταῦθα μὴ διαπλάσασιν ἑαυτοὺς κατὰ τὴν ἀρετὴν προαιρετικῶς, μηδὲ πρὸς ἐκεῖνον μορφωθεῖσι τὸν βίον, ἀδύνατον ἐκεῖ τὸ τέλειον ἀπολαβεῖν, ἐπείπερ ἀδύνατον καὶ σῶμα πάλιν τοιοῦτον ἀναλαβεῖν. Ἀνάγκη τοίνυν αὐτούς, ὥσπερ ἀμβλωθριδίους τινὰς γενομένους ἐκεῖ, μηκέτι προσδοκᾶν τὴν ἀποκατάστασιν, ἐπεί περ οὐκ ἔστιν ἑτέρα διάπλασις. Ἐπιχειρητέον δέ, καὶ ἐντεῦθεν. Οἱ πολιτικοὶ νόμοι, μίμημα τῆς θείας ἰσότητος καὶ*
ϱν΄r *δικαιοσύνης σῴζουσιν. Οὐχ ὅτι μόνον τοὺς πονηροὺς ἐκ μέσου | ποιοῦσιν, ἀλλ' ὅτι καὶ αὐτοῖς τούτοις τὸ πρῶτον καὶ τὸ κατ' ἀξίαν ὁρίζουσιν. Φαίνονται τοίνυν ἐκεῖνοι τὰς ἀιδίους κολάσεις οὐ τῇ ποσότητι τῶν ἁμαρτημάτων, ἀλλὰ τῇ ποιότητι ἐπιγράφοντες· οἷον φόνου τίμημα παρ' αὐτοῖς θάνατος τυχὸν ἢ φυγὴ ἀίδιος· οὐκ ἐάν τις πολλάκις φονεύσῃ, καὶ παρὰ πάντα τὸν βίον, ἀλλὰ κἂν ἅπαξ φονεύσῃ μόνον. Οὕτω δὴ καὶ παρὰ θεοῦ ταῖς πρὸς θάνατον ἁμαρτίαις, κἂν ἐπὶ βραχὺν τολμηθῶσι χρόνον ἡ αἰώνιος ἀφόρισις κόλασις.*

*Ἀλλὰ τοσοῦτόν, φησι, πλῆθος ἀπολωλέναι, τῶν τε κατὰ πᾶσαν τὴν οἰκουμένην εἰς θεὸν ἀσεβούντων καὶ πεπλανημένην περὶ αὐτοῦ τὴν δόξαν ἐχόντων, καὶ τῶν ἐν ἁμαρτίαις ἑκάστοτε τὴν ζωὴν ἠνυκότων ; Ποῖον πλῆθος εἰπέ μοι λέγεις ; σοὶ κἀμοὶ δοκεῖ πλῆθος εἶναι. Τοῦ θεοῦ δὲ οὐκ ἀκούεις, ὅτι πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς σίελος ἐλογίσθησαν ; οὐκ ἐννοεῖς τὸ ἀνυπέρβλητον μέγεθος τῆς θείας δυνάμεως, οὐκ ἀκούεις τοῦ προφήτου λέγοντος, ὁ κατέχων τὸν γῦρον τῆς γῆς καὶ τοὺς κατοικοῦντας ἐπ' αὐτῆς ὡσεὶ ἀκρίδας ; Πόσας εἰπέ μοι ψύλλας ἐκ τῆς σαρκός, ἢ κάμπας ἐκ τῶν*
ϱν΄v *λαχάνων ἀπεριμερίμνως διέφθειρας ; ἀνθρώπου δὲ τὸ μὲν | κατ' εἰκόνα φυλάξαντος ἀκραιφνές, καὶ θεῷ δι' ἀρετῆς ἑαυτὸν οἰκειώσαντος, οὐδὲ ὁ πᾶς κόσμος ἀντάξιος ! ἀποστάντος δὲ τῆς θείας μερίδος, καὶ πρὸς τὴν κτηνώδη ζωὴν ὀλισθήσαντος, αἱρετώτερος παρὰ θεῷ σκώληξ, ὁ τὰ κατὰ φύσιν τηρῶν. Ἄνδρα αἱμάτων καὶ δόλιον, βδελύσσεται κύριος. Οὐχ ὁρᾷς τὸν νεκρὸν ὡς βδελυττόμεθα πάντες, καὶ τῇ γῇ συγκρύπτομεν, ἵνα μὴ σκωλήκων καὶ ἰχώρων καὶ δυσωδίας σήψεως ἐμπλήσῃ πάντα ; Τοιοῦτόν ἐστι θεῷ, ψυχὴ νεκρωθεῖσα δι' ἁμαρτίας καὶ τῆς θείας ἑκουσίως ἑαυτὴν χωρίσασα.*

*Ἀλλ' ἀνέχεται καὶ μακροθυμεῖ τήν τε μετάνοιαν ἑκάστου τῶν βουλομένων καὶ ὅτι καιρὸν ἄλλον ὥρισεν, ἐν ᾧ κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Διὰ τοῦτό, φησιν ὁ Δαβίδ, ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρός. Καὶ εἰ δίκαιος ἅμα καὶ ἰσχυρὸς καὶ τῷ*

---

*337* Es. 40,15. *339* Es. 40,20. *345* Ps. 5,6. *352* Ps. 7,11.

---

*348 καὶ τῆς θ. ἑ. ἑ. χ.* sic codex ; forsitan *καὶ τῆς θείας οὐσίας ἑ. ἑ. χ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*θελήματι σύνδρομον ἔχων τὴν δύναμιν, διατὶ τοῖς ἁμαρτάνουσιν οὐκ ἐπέξεισιν; Ἀλλὰ καὶ μακρόθυμός, φησι, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἐὰν δὲ μὴ ἐπιστραφῆτε, τὴν μὲν ῥομφαίαν στιλβώσει καὶ ἐκτενεῖ τὸ τόξον, οὐκ ἐπαφήσει δὲ οὐδὲ τότε μέχρις ἂν ὁ τῆς κρίσεως καιρὸς ἐπιστῇ. Ταῦτα* ρνα'r *καὶ οἱ τῶν Ἑλλήνων ἴσασι λόγοι, σὺ δὲ τὸ πλῆθος ἐκλογιζόμενος, καὶ ἔστιν ἀκοῦσαι παρ' αὐτοῖς δικαιωτήριά τινα ὑπὸ γῆν, καὶ Κωκυτοὺς καὶ Πυριφλεγέθοντας, καὶ ἀσεβεῖς ἀνθρώπους κολαζομένους. Οὕτω καὶ παρὰ τοῖς μὴ νόμον ἔχουσι τὸ δίκαιον τοῦ θεοῦ ὑμνεῖται καὶ ὁ τῆς κολάσεως λόγος πεπίστευται. Σὺ δὲ ὁ τὸ πλῆθος ἐκλογιζόμενος, οὐκ ἀκούεις τῆς γραφῆς λεγούσης κρείττων εἷς ποιῶν τὸ θέλημα τοῦ θεοῦ, ἢ μυρίοι παράνομοι; ἢ καὶ τοὺς Χαναναίους ἅπαντας προτιμήσεις ἑνὸς τοῦ Ἀβραάμ; ἢ καὶ τοὺς Σοδομίτας ἑνὸς τοῦ Λώτ; ἢ καὶ Μαδιηνέας Μωσέως, τῶν παροίκων καὶ ξένων; Πότερον ἠβούλου λίθον ἕνα τίμιον ἔχειν ἐν βαλαντίῳ ἢ μυρίους κάχληκας ἐπὶ γῆς; καὶ ὀλίγους οἰκέτας εὐπειθεῖς ἐπὶ τῆς οἰκίας, ἢ πολλοὺς ἀπειθεῖς καὶ ἀτάκτους; καὶ ὀλίγα δένδρα καρποφόρα ἐν τῷ ἀγρῷ, ἢ πολλὰς ἀκάνθας καὶ βάτους καὶ ῥάμνους; Πολλὴ μὲν ἥ τε θαλάττης ψάμμος, ἀλλ' ὀλίγοι οἱ μαργαρῖται· καὶ πολὺς μὲν ὁ σίδηρος ὑπὸ γῆν, ἀλλ' ὁ χρυσὸς ὀλίγος· καὶ πολλὰ μὲν ἡ γῆ φύει, ὀλίγα δὲ τὰ ἡμῖν εὔχρηστα· σπάνια γὰρ ἀεὶ τὰ καλά, τὸ δὲ πλῆθος εὔωνον καὶ εὐκαταφρόνητον. Διὰ τοῦτό φησιν ὀλίγοι οἱ σῳζόμενοι·* ρνα'v *καὶ στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι οἱ διερχόμενοι δι' αὐτῆς· καὶ πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.*

*Ναί, φησιν, ἀλλ' αὐτὸ τοῦτο μαθεῖν ἤθελον, πῶς οἱ πλείους κακοί, τῆς ἀρετῆς κατὰ φύσιν ἡμῖν οὔσης καὶ πῶς ἐπὶ τὸ ἁμαρτάνειν οὕτω ῥαδίως πάντες ὑποφερόμεθα. Πρὸς δὴ τοῦτο πάλιν ἐροῦμεν, ὅσον γε ἡμῖν ἐφικτόν, ἵνα πλήρης ὁ λόγος καὶ ἀπηρτισμένος γένηται πάντοθεν. Τρία τῶν ὄντων ἐν τοῖς πρακτέοις ἔφαμεν τὰ κριτήρια· τὸν λόγον, τὴν αἴσθησιν καὶ τὸ πάθος. Ὅταν μὲν οὖν ὁ λόγος αὐτὸς καθ' αὑτὸν ὑγιῶς ἔχων κρίνῃ τὸ πρᾶγμα, μήτε αἰσθήσει τινί, μήτε πάθει προσπεπλεγμένος, ἀνάγκη τὸ κατὰ φύσιν ἡμᾶς αἱρετὸν αἱρεῖσθαι, τοῦτο δ' ἐστὶ τὸ ἀγαθόν· καὶ τὸ κατὰ φύσιν φευκτὸν φεύγειν, τοῦτο δ' ἐστὶ τὸ κακόν· καὶ οὕτω τὰ πραττόμενα κατὰ λόγον γίνεσθαι, καὶ ἀγαθὰ πάντως εἶναι. Ὅταν δὲ τὸ πάθος κρίνῃ τὸ πρᾶγμα, τὸν λόγον ἑαυτοῦ ποιησάμενον, καὶ ἕπεσθαι παρασκευάσαν ἀντὶ τοῦ ἄρχειν, ἀντεστραμμένως, ἀνάγκη τὰ μὲν αἱρετὰ κατὰ φύσιν φεύγειν, ἤτοι τὰ ἀγαθά· τὰ δὲ φευκτὰ διώκειν, ἤτοι τὰ κακά. Λοιπὴ δὲ καὶ ἡ αἴσθησις, μέση τις ἀμφοτέρων οὖσα, μετὰ μὲν τοῦ λόγου τὰ πράγματα κρίνουσα καὶ αὐτή, τὸ ἀγαθὸν* ρνβ'r *αἱρεῖται καὶ τὸ κακὸν φεύγει· μετὰ δὲ τοῦ πάθους | αὖ, τοὐναντίον, αἱρεῖ-*

---

*358* Plat. Phædon 114a. *359* Ro. 2,14. *362* Si. 16,35r. *371* Lu. 13,23. *372* Math. 7,14. *366* Math. 20,16.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*ται μὲν τὸ κακόν, φεύγει δὲ τἀγαθόν. Ἐπεὶ δὲ καὶ αὐτὴ καθ' αὑτὴν ἄνευ τοῦ λόγου δύναται κρίνειν, ἅπερ ἂν ὑποβάλῃ καλὰ καὶ ἡδέα ταῦτα ῥαδίως δεχόμεθα, κἂν ὁ λόγος μὴ κρίνῃ· καὶ αὕτη ἐστὶν ἡ τῆς κακίας ἀρχὴ καὶ γένεσις πρώτη. Ἡ γὰρ τῶν τοιούτων ἄμετρος χρῆσις, λέγω δὴ τῶν κατ' αἴσθησιν καλῶν καὶ τιμίων, τὴν κακίαν συνίστησι. Κἀντεῦθεν ἐπὶ τὰ πάθη κατὰ μικρὸν ὑπολισθαίνων ὁ ἄνθρωπος, ἅτε λοιπὸν μαθὼν τῇ αἰσθήσει δουλεύειν, καὶ τὴν τοῦ λόγου ἀρχὴν παρωσάμενος, κτηνώδης καὶ θηριώδης ἀντὶ ἀνθρώπου καὶ λογικοῦ γίνεται. Ἐπεὶ οὖν ἡ μὲν αἴσθησις πᾶσιν ἀνθρώποις ἐκ νηπίου σύντροφος, ὁ δὲ λόγος οὐκέθ' ὁμοίως, ἀλλὰ μόλις τελειοῦται χρόνῳ, καὶ νόμῳ συνίσταται καὶ ἔθει κρατύνεται καὶ μαθήσεσι καὶ ἀσκήσεσιν ἐπιδίδωσι, προλαβοῦσα τοῦτον ἐκείνη καὶ τὰ ἑαυτῆς καλὰ καὶ ἡδέα προδείξασα καὶ τὴν ἐπ' αὐτοῖς ἀμετρίαν εἰσαγαγοῦσα καὶ οὕτως ἐξανδραποδισαμένη τὸν ἄνθρωπον καὶ ἀπαγαγοῦσα πόρρω τοῦ λόγου, τοῖς πάθεσι παραδίδωσιν οἷον ἑτέροις δεσπόταις καὶ τυράννοις πικροῖς. Πρὸς δὲ τούτοις, ἡ μὲν ἀκώλυτός ἐστι καὶ κοινὴ πᾶσιν, οὐ τοῖς λογικοῖς μόνον ἀλλ' ἤδη καὶ*
ρνβ'v *τοῖς ἀλόγοις· ὁ δὲ λόγος, ὑπὸ πολλῶν ἐμποδίζεται | παρὰ τοῖς πολλοῖς. Καὶ γὰρ ὁ νόμος αὐτὸν διαφθείρει διεφθαρμένος ὢν καὶ τὸ ἦθος ἐκμελὲς καὶ ἀνάγωγον ὑπὸ τοῦ ἔθους γενόμενον. Πρὸς δὲ τούτοις αἱ τῶν πονηρῶν συνουσίαι καὶ τὸ ἀνάσκητον αὐτὸ καὶ ἀπαίδευτον, οὐ μικρὰ λυμαίνονται τοῦ λογικοῦ τῆς ψυχῆς. Διὰ ταῦτα παρὰ τοῖς πολλοῖς ἡ αἴσθησις ἔχει τὸ κράτος καὶ παρωσαμένη τὸν λόγον, ὃς ἀεὶ τοῖς πράγμασιν ἐπιφέρει τὸ μέτρον, ἀποφέρει τὸν ἄνθρωπον εἰς πᾶσαν ἀμετρίαν.*

*Λοιπὸν κἀκ τούτου τὸ πολὺ τῆς φύσεως μέρος ὑπὸ τὴν ἁμαρτίαν ἐστὶ καὶ τοῖς πάθεσιν ὑποκέκυφε καὶ δουλεύει δουλείαν αὐθαίρετον. Ἀλλ' οὐχ ὁ μέγας Ἀβραὰμ ὁ θεοφιλὴς καὶ δίκαιος οὕτως· ἀλλ' ὑπέτταττεν ἀεὶ τὴν Αἰγυπτίαν τῇ Σάρρᾳ, τὴν αἴσθησιν τῇ σοφίᾳ, προφυλαττόμενος τὸ ἐξ αὐτῆς βλάβος, καίτοι γε πρότερον πεπαιδοποιηκὼς ἐξ αὐτῆς· καὶ τέλος, ἐπεὶ μὴ ἤθελεν ὑποτάττεσθαι, ἐκβάλλειν ἐκέλευε τῆς οἰκίας σὺν τοῖς πρωτοτόκοις αὐτοῖς γεννήμασιν. Ἦ οὐ τοιαῦτα πάσχομεν ἐφ' ἑκάστης, νηπιόθεν ἀρξάμενοι; ἢ οὐ τοιαῦτα πέπονθε καὶ ἡ φύσις ἡμῶν, ἐξ αὐτῆς τῆς πρώτης καταβολῆς ἀρξαμένη; Προσέβλεψεν ὁ Ἀδὰμ τοῦ φυτοῦ τοῦ ὡραίου, καὶ ἠπατήθη τὸν νοῦν κἀντεῦθεν τὴν παρακοὴν καὶ τὸν θάνατον ἐπεισήγα-*
ρνγ'r *γε. | Προσβλέπομεν καὶ ἡμεῖς, ἐδέσμασι ποικίλοις καὶ καρυκεύμασι, πρὸς τρυφὴν καὶ βλακείαν εὐπρεπισμένοι, ἔτι δὲ ἀνθοσμίαις πολυτελέσι καὶ*

---

*406* Iso. 9a. *412* Gen. 21,9-14. *419* Gen. 3,6.

---

*398* *ἀσκήσεσιν* cod.[1] *ἀσκήσει* cod. ante *ἀσκήσεσιν* additum *καὶ μαθήσ*<*εσι*> in marg.



Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*ὅσοις ἄλλοις τὸ ἀβροδίαιτον τὴν νομὴν ἔχει. Ἐκ τούτων ἀμετρία καὶ γαστριμαργία καὶ μέθη· ἐκ τούτων ἀσέλγεια καὶ παρανομία πᾶσα. Πάλιν ἱματίοις εὐανθέσι καὶ κόσμοις καὶ χλανιδίοις ἑτέροις, οἷς οἱ εὐπάρυφοι κέχρηνται προσκεχήναμεν· ἔτι δὲ διαφόροις κτήσεσι καὶ ἀγροῖς καὶ συνοικίαις, καὶ ὅσοις ἄλλοις ὁ πλοῦτος ὁρίζεται μᾶλλον δὲ τὸ ἀόριστον ἔχει· ἐκ τούτων φυλαργυρία καὶ πλεονεξία· ἐκ τούτων ἀδικία καὶ ἁρπαγή· ἐκ τούτων πόλεμοι καὶ φόνοι πολλάκις καὶ μυρία δεινά. Διὰ ταῦτα οἱ πλείους κακοί· τῇ γὰρ αἰσθήσει δουλεύουσι καὶ διὰ ταύτης τοῖς πάθεσιν.*

*Ἀλλὰ σύ, βασιλέων ἄριστε καὶ θεοφιλέστατε, τὸν λόγον τοῦ βίου παντὸς προστησάμενος, ᾗ περ ἂν ἰθύνῃ ταύτῃ καὶ σαυτὸν ἄγε, καὶ τοὺς ὑπὸ τὴν σὴν τελοῦντας ἀρχήν. Πάντων μὲν γὰρ δέον τὸν λόγον κρατεῖν, τοῦ δὲ τῶν ἄλλων κρατοῦντος τοσούτῳ μᾶλλον, ὅσῳ καὶ δυσχερέστερον πολλοὺς διασῴζειν, ἢ ἑαυτὸν μόνον καὶ παράδειγμα τοῦ καλοῦ τοῖς ἄλλοις καθίστασθαι. Τί γὰρ ὄφελός, φησιν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, ἁλουργίδος καὶ* ρνγ'v *χρυσῶν ἱματίων καὶ διαλίθου στεφάνου, | ὅταν ἡ ψυχὴ ὑπὸ τῶν παθῶν αἰχμάλωτος ᾖ; Τί κέρδος ἐκ τῆς ἔξωθεν ἐλευθερίας, ὅταν τὸ κυριώτερον ἐν ἡμῖν δουλαγωγῆται αἰσχρῶς καὶ ἐλεεινῶς; Ὥσπερ γὰρ πυρετοῦ πρὸς τὸ βάθος καταδυομένου καὶ τὰ ἔνδον ἅπαντα καταφλέγοντος, οὐδὲν ὄφελος ἐκ τῆς ἄνωθεν ἐπιφανείας τοῦ σώματος, ἂν μηδὲν πάσχῃ τοιοῦτον, οὕτω τῆς ψυχῆς ἡμῶν ὑπὸ τῶν ἔνδον παθῶν παρασυρομένης, οὐδὲν ὄφελος τῆς ἔξωθεν ἀρχῆς οὐδὲ τῆς καθέδρας τῆς βασιλικῆς, ὅταν ὁ νοῦς μετὰ πολλῆς τυραννίδος ἀπὸ τοῦ θρόνου τῆς βασιλείας ὑπὸ τῶν παθῶν καταστρέφηται καὶ ὑποκύπτῃ καὶ τρέμῃ τὰς ἐπαναστάσεις αὐτῶν.*

*Ταῦτα μὲν ἡ καλὴ διέξεισι γλῶττα. Προστίθημί δέ σοι τοῦτο παρ' ἐμαυτοῦ, βασιλεῦ. Γίνωσκε, παντὸς ἀνθρώπου πλείονα λόγον ἀπαιτηθήσῃ παρὰ τοῦ θεοῦ, διὰ δύο ταύτας αἰτίας. Μίαν μέν, ὅτι μείζονα πάντων δύναμιν ἔχεις εἰς τὸ πράττειν τὰ κατὰ γνώμην· οὐ γὰρ πάντες ἃ βούλονται, ταῦτα καὶ ἰσχύουσιν ἐκτελεῖν. Δευτέραν δέ, ὅτι τύπον παντὸς ἀγαθοῦ καὶ ὑπόδειγμα τοῖς ἀρχομένοις ὀφείλεις σεαυτὸν καθιστάναι· πάντες γὰρ τὸν βασιλέα ὁρῶσι καὶ πρὸς ἐκεῖνον ἑαυτοὺς ῥυθμίζουσι καὶ οὔτε λανθάνειν τι* ρνδ'r *δύναται τῶν αὐτῷ πραττομένων, οὔτε φανερὸν γενόμενον ἀμίμητον ὑπο|λείπεσθαι, κἂν ἀγαθὸν ὑπάρχῃ κἂν μὴ τοιοῦτον. Ὡς οὖν οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τῶν ἀρχομένων ἁπάντων ἀποδώσων εὐθύνην, οὕτως ἕπου ταῖς τοῦ θεοῦ ἐντολαῖς καὶ τοῖς ἱεροῖς νόμοις, καὶ πρὸς ἐκείνας ἄγε τὰς λοιπὰς καὶ συμβίβαζε, ἵνα νῦν ὑποβασιλεύων τῷ θεῷ καὶ συμβασιλεύσῃς αὐτῷ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, τῆς λαμπρᾶς ὄντως ἐκείνης καὶ ἀϊδίου δόξης μετὰ τῶν ἁγίων αὐτοῦ ἀξιούμενος :—*

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

## CODEX MARCIANUS GRÆCUS 533 (XV s.) ff. 47r – 48r

### *<Βησσαρίων> τῷ Ἀμοιρούτζη*

*Ἐοίκαμεν, ἐγώ τε καὶ σύ, ὁ μὲν ἐγκαλῶν οὐ σὺν δίκῃ, σὺ δὲ μάτην ἀπολογεῖσθαι, ἀφέντες ἄλλοθι κοινῇ τὴν οὖσαν αἰτίαν ζητεῖν κἀκεῖθεν τὰς δίκας εἰσπράττεσθαι. Ἡ γὰρ τῶν ἀνδρῶν μοχθηρία, οἷς τὰ πρὸς ἀλλήλους πιστεύομεν γράμματα, καὶ σὲ ταῖς τῆς ἀγνωμοσύνης αἰτίαις καὶ ταῖς τῆς ἀκρισίας ἡμᾶς ὑποβάλλουσα προσέτι καὶ κατ' ἀλλήλων ὀργίζεσθαι καὶ τἀναίτια αἰτιᾶσθαι καὶ πάντα δὴ διατίθησι τὰ δεινότατα. Ἄλλον γὰρ δὴ τῆς σῆς ἔκφυγε χειρὸς οὐκ εὐφράναν τὸν φίλον τὸ τῶν σοφῶν σου σμῆνος γραμμάτων, καὶ ἅς, οὐκ οἶδ' ὅσας, φῂς ἐπιστεῖλαι, πλὴν εἰ μὴ λόγος ἦν ἄλλος ἡ δωδεκὰς καὶ τῶν ἐγκλημάτων ἀποφυγὴ καί τις ἀναχώρησις ἐσκεμμένη. Καίτοι πείθεις με λέγων, καὶ μικροῦ συμφωνῶ σοι πρὸς τοὺς ἐλέγχους ὁρῶν, ἕτοιμον ὄντα καὶ θαρροῦντα ταῖς διὰ λόγων μὲν ἀποδείξεσιν οὐδαμῶς ὅτου τυχὸν ἔνι καὶ παρακρούσασθαι σοφιστείᾳ χρησάμενον, αὐτοῖς δὲ τοῖς πράγμασι καὶ ταῖς δι' αἰσθήσεων πίστεσιν, αἷς οὐδὲ τὸν σφόδρα φιλόνεικον ἀντειπεῖν ἔνι μὴ οὐ πεισθέντα. Ὥστε γὰρ δεῖξαι τοῦθ' οὕτως ἔχον, ζητεῖς σοι παραστῆσαι τοὺς ἄνδρας οἷς αὐτὰς οὐκ οἶδ' εἴτ' ἐνεχείρισας, εἴτ' ἐγχειρίσεις· πρᾶγμα πάνυ μὲν οὖν ἐμοὶ ῥᾷστον, ὅς πρῶτον μὲν οὐδ' αὐτὸ τοῦθ' οἵτινες εἰσὶν οἶδα, πλὴν εἰ μὴ κήρυξί τισι καὶ χρημάτων διανομαῖς αὐτοὺς συναγάγοιμι. Ἔπειτα καὶ φωράσας οὐκ οἶδ', ὅπως ἂν ἐν ταὐτῷ συναγάγω, πότερον ἐμαυτόν τε κἀκείνους ἢ πλέοντας ἢ πεζεύοντας ἀγαγὼν παραστήσω σοι—δεῖ γὰρ παρεῖναι κἀμὲ τῶν ἐλέγχων ἀκροατὴν—ἢ σὲ παρ' ἡμᾶς ἴυγξί τισιν ἐπισπάσω· καίτοι τοῦτο μὲν πολλῷ ῥᾷον.*

*Σὺ δ' οὐκ ἂν τῶν ἐν τοῖς μεγίστοις βασιλείοις κερδῶν καὶ τιμῶν καὶ τοῦ παρὰ πάντων ἀποβλέπεσθαι τῶν ἐνταῦθα τὴν ὡς ἡμᾶς προθήσεις ἐπιδημίαν καὶ ῥῆμα μόνον βασίλειον καὶ εὐμενὲς νεῦμα καὶ τὴν μελίχρουν ἐκείνην αὐδήν, ἣν οὐκ ἄν τις ἁμάρτοι τῇ λύρᾳ παραβάλλων Ὀρφέως, τῶν ἄλλων ἁπάντων προκρίνων δικαίως. Ὥστε τήν γε τῶν σῶν λόγων τέχνην τε καὶ δεινότητα, κατασκευήν τε καὶ μεταχείρισιν ἐπαινέσαις μὲν ἂν καὶ σὺ*

---

*8 ἄλλος* cod. *ἄλλως* M  *11 ὅταν* cod. *ὅπου* M  *15 παραστῆσαι* cod. *παραστῆναι* M  *19 κἀκείνους ἢ πλέοντας... ἀγαγὼν* cod. *κἀκείνοις ἢ πλείονας... ἀγάγων* M  *20 παρ' ἡμᾶς* cod. *παρ" ὑμᾶς* M  *23 προθήσεις* cod. *προσθήσεις* M  *26 τέχνην τε καὶ δεινότητα* in marg.

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*κἀγὼ καὶ ὅστις ἀγαθὸς λόγων κριτής· εἰ δὲ μὴ παρέσυρεν ἡμᾶς κατακλύσασα πειθοῖ τῇ τυράννῳ, μὴ θαυμάσῃς! οὐ γὰρ τὴν τῶν λόγων ἀσθένειαν, τὴν δὲ τῆς ἀληθείας ἰσχὺν αἰτιάσῃ, παντὸς λόγου κρείττω δεικνυμένην ἑκάστοτε.*

*Λυπούμενος δ᾽ ἐφ᾽ οἷς σου καθηψάμεθα σκώμμασι, οὕτω γὰρ τὴν ἐν τοῖς πρὸς ἕτερον γράμμασι πρόσρησιν ὀνομάζεις, εὐφραίνεις ἡμᾶς οὐχ ἧττον ἢ μηδεμίαν αἰτίας αἰτίαν διδούς. Ὥστ᾽ ηὐξαίμην ἂν μάλιστα μὲν μήτε σκωμμάτων σοι καὶ ὁπωσοῦν δεῖν τῷ βίῳ τε καὶ τοῖς ἔργοις, μήθ᾽ ἡμᾶς* 47 v *τὴν ἀπὸ τοῦ λυπεῖσθαί σε κατηγορούμενον εὐφροσύνην καρποῦσθαι. Εἰ δ᾽ ἄρ᾽ ἄνθρωπον ὄντα καὶ ἁμαρτεῖν ἀνάγκη ποτέ. Εὐφραίνοις γοῦν ἡμᾶς ἀθυμῶν καὶ τῶν ἡμετέρων βελῶν αἰσθανόμενος· καίτοι γ᾽ ἐφ᾽ οἷς ἕτερόν τις ἀνιᾷ, καὶ τοῦτον ἑταῖρον, χαίρειν αὐτὸν οὔτε νενόμισται· καὶ χαιρεκακίας αἰτίαν ἴσως ἂν σχοίη, μητέρα κεκτημένης τὴν κακοήθειαν. Ἐγὼ δὲ τῆς σῆς ὀρεγόμενος οὐχ ἧττον ἢ τῆς ἐμαυτοῦ βελτιώσεως, τάχα γὰρ καὶ ἡμῖν τι προσήκει τὰ κατὰ σέ, καὶ βιοὺς εὐδαιμόνως μεταδώσεις εὐκλείας ἡμῖν, οὐ μόνος ἀπολαύσεις τῶν ἀγαθῶν, οὔτε σὲ ποτὲ παύσομαι πλήττων, φωρῶν ἁμαρτάνοντα, οὔτ᾽ ἐμαυτῷ τὴν ἐντεῦθεν ἡδονὴν ποριζόμενος, ἕως ἂν ἀναμάρτητον ἢ ὀλιγαμάρτητον αἴσθωμαι, σὺν θεῷ χρηματίσαντα, τὴν ἐπὶ τοῖς μὴ καλῶς πεπραγμένοις πικρίαν, μετανοίας σημεῖον, κἀκείνην τῆς τῶν ἀρίστων ἔργων αἱρέσεως αἰτίαν τιθέμενος, ὡς τοὖγε μὴ μόνον τοῦ βελτίστου διαμαρτάνειν, ἀλλὰ καὶ ἀναισθητεῖν ἐλεγχόμενον, μήτε σὺ μήτ᾽ ἐγώ, μήθ᾽ ὅστις ἡμῶν φίλος ἥκοι μηδὲ εἰς πεῖραν.*

*Ἐγὼ μὲν οὖν ὀνειδίσας ὠφέλησα καὶ μεμψάμενος ἐπηνώρθωσα· ἀπέλαβον γὰρ ὧν ἕνεκεν κατηγορῆσαι προήχθην· οὗ καὶ μάλα ἂν ὑπερήλγησα κατηγορούντων ἑτέρων, εἰς ἐμαυτὸν ἀναφέρων τὰς εἰς ἐκεῖνον ἐπιτιμήσεις. Σὺ δ᾽ εἰ μὴ μάλα πικρὸς τῶν ὑμετέρων δικαστὴς γίνῃ, πράως τε οἴσεις καὶ τὴν αἰτίαν σκοπούμενος εὑρήσεις ἀγάπην καὶ τὸ σφόδρα τῶν σῶν ἔχειν γραμμάτων ἀπλήστως· ὃς εἰ καὶ πάσας δεξάμενος, ὅσας ἔφης ἐπεσταλκέναι, κατηγόρουν ὡς μὴ γεγραφότος, τότ᾽ ἂν καὶ μεῖζον τοῦ σὲ καὶ τὰ σὰ φιλεῖν ἐξήνεγκα δεῖγμα, καί σοι πλείω τὴν ἡδονὴν ἂν προεξένησα.*

*Νῦν δ᾽ ἅπαξ μὲν ὑπὸ σοῦ τιμηθείς, εὐθὺς δέ σε ταῖς αὐτοῖς ἀμειψάμενος, καίτοι μὴ σφόδρα τοῦ καιροῦ συγχωροῦντος, ἥ τε γὰρ χεὶρ ὅ τε νοῦς ἤργει συγκάμνων τῷ σώματι, εἶθ᾽ ὅλον ἐνιαυτὸν ἤδη στερόμενος ὧν οὐκ ἐχρῆν, ὥσπερ ἐκ μετανοίας σιγᾶν ἐγνωκότος, τί θαυμαστὸν εἰ τρωθεὶς ἔπληξα καὶ λόγοις σου καθηψάμην εὐλόγοις, ἀμελήσαντος τοῦ δικαίου τε καὶ εὐλόγου; εἰ δὲ καὶ τὰ ὄντα λέγων οὐ γενέσθαι μοι προὔργου τὴν σὴν ἐπιτίμησιν εἴποιμι, οὐδὲ στηλίτην σε θεῖναι βουλόμενος, τὸ βραχὺ ῥῆμα τοῖς*

---

*37 ἄρ᾽ ἄν.* cod. *ἄρα ἄν.* M *42 μεταδώσεις εὐκλείας ἡμῖν* in magr. cod. *μ. εὐκλείαν ἤ.* M *56 τότ᾽ ἂν* cod. *τό τ᾽ ἂν* M *60 ἤργει* cod. *εἴργει* protendit M

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146



Codex Marcianus Græcus 533 f. 47v

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146

*πρὸς ἕτερον προσπαρέγραψα γράμμασι, δίκαιος μὲν ἂν εἴης καὶ λέγοντι μόνον ἁπλῶς οὕτω πεισθῆναι, ἐγὼ γὰρ τοὺς ἐμαυτοῦ λόγους τῶν ὅρκων ἑτέρου καὶ ἀποδείξεων ἀληθεστέρους ἂν εἶναι βουλοίμην.* |

48 r *Γνοίης δ' ἂν καὶ ὧδε· οὔτε γὰρ ταῖς δημοσίαις κύρβεσιν ἣν ἔφης ὕβριν φέρων ἐνέγραψα, ἐφεὶς παντὶ παριόντι τὰ κατὰ σοῦ γράμματα διιέναι, οὔτε σκεψάμενος ᾧ τινι προσέκρουσάς ποτε καὶ ὃς ἂν οὐκ ἀηδῶς τῶν κατὰ σοῦ αἰτιαμάτων ἀκούσειεν ἐν τοῖς πρὸς αὐτόν σου γράμμασιν ἐμνήσθην ἐφ' οἷς οὐκ ἐχρῆν, μονονοὺ δι' ἐκείνου δημοσιεύων σου τὰ ἐγκλήματα καὶ πολλοὺς ἀνιστῶν σοι πάντοθεν κατηγόρους· ἀλλὰ τῶν ὄντων σοί τε κἀμοὶ φίλων τὸν μάλιστα σαφέστατον ἐκλεξάμενος, καὶ ὃν οὐκ ἐνῆν ἐκπομπεύειν σοῦ τοῖς ἐλαττώμασιν οὐ μᾶλλον ἢ τοῖς [σοῦ] αὐτοῦ, τούτῳ τὴν κατὰ σοῦ μέμψιν ἐκοινωσάμην, φίλῳ φίλους ἐπανορθῶν, ὥσπερ τισὶ φαρμάκοις προσηνεστέροις ἰώμενος, εἴ τί σοι θεραπείας ἦν ἄξιον. Σὺ δ' ἀδικῶν ὃν οὐκ ἐχρῆν, αἰτιάμασι τὰς κατὰ σοῦ μέμψεις λύειν ἐθέλεις προσεγκαλῶν. Ἀλλὰ τούτων μὲν ἅλις.*

*Σὺ δ' ἐντεῦθεν ἤδη τοῦ βίου παρέχων τὰς ἀποδείξεις καὶ πρὸς κανόνα ῥυθμισθεὶς ἂν ἐν ἅπαντι τῷ μέλλοντι βίῳ, ὃν ἂν τὸ ἀπὸ τοῦδ' ἕλοιο, ἁπαλῇ τῇ ψυχῇ καὶ πρώτως ἁψαμένῃ τοῦ ζῆν ἐν τῷ μέσῳ, στάδιον ὃν τρέχεις δρόμον, ἐν μέσοις τοσούτοις ἡγούμενος, ὥσπερ τις εὐφυὴς ἀθλητὴς ἀσκήσει τε καὶ τέχνῃ τὰ πλείω μᾶλλον ἢ τῇ ῥώμῃ θέλε νικᾶν. ἔστιν οὖν καλῶς ἡττημένος μᾶλλον ἢ κρατεῖν ἐθέλων ἐν πᾶσιν οὐχ οὕτως, σύμφωνον μὲν τοῖς λόγοις τὸν βίον δεικνύς, ταπεινώσει δὲ καὶ μετρίῳ φρονήματι πάντας ἕλκων πρὸς ἑαυτόν, φίλοις μὲν χρώμενος, οἷς ἄμεινον, ἐχθροῦ δὲ μάλιστα μὲν πειρώμενος οὐδενός. Εἰ δ' ἄρ' ἀδύνατον ἔχοντι φίλους, καὶ δηλοῖ Χείλων τοῦ εἰπόντος μηδένα ἔχειν ἐχθρὸν εἰ μηδὲ φίλον πυθόμενος, πείθεσθαι γοῦν Ξενοφῶντι, τοῦ νοῦν ἔχοντος ἐστὶ λέγοντι καὶ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι. Τοῦτο γοῦν καὶ ἰατρῶν πείσαιεν παῖδες ἀπὸ τῶν δηλητηρίων σωτήρια κατασκευάζοντες φάρμακα καὶ ὅσοι ταῖς δυστυχίαις πρὸς εὐτυχίαν ἐχρήσαντο. Ταύτῃ γὰρ κεκοσμηκὼς μέν, τὰ ἤθη προσθεὶς δὴ τῷ λόγῳ καὶ τὴν ἀπὸ τοῦ βίου λαμπρότητα, πάθους μὲν περιγενήσῃ παντός· παράδειγμα δὲ καταστὰς ἀγαθῶν, σαυτόν τε καὶ τοὺς εἰς σὲ βλέποντας βελτίων ἀποφανεῖς.*

---

Diels Vorsokr. I⁴ Aut. 71–73a. *90* Xenoph. Œcon. 1,14-15.

---

72 *μονονοὺ* cod. *μόνον οὐ* M 72–73 *πολλοὺς... και.* cod. *πολλῶς... και.* M
75 *ἢ τοῖς σοῦ αὐτοῦ* cod. M ; *σοῦ* delevi 78 *λύσιν ἐθέλεις* cod. *χύειν ἠθέλεις* M
84 *ἔστιν οὖν* cod. forsitan *ἔσει οὖν* 95 *βελτίος* cod. *βελτίων* M

Institutional Repository - Library & Information Centre - University of Thessaly
16/05/2024 08:31:15 EEST - 3.138.69.146